
Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

II. A. 16

B20

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

KW 232 L 10

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

A
220

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

CLAVDII AELIANI TACTICA,

SIVE

De inſtruendis aciebus;

GRÆCE ET LATINE.

Cum Notis & Animaduerſionibus

SIXTI ARCERII.

Accedunt PRAELIORVM ALIQVOT DESCRIPTIONES, & nonnulla alia; additis TABVLIS AENEIS.



LVGDVNI BATAVORVM,

Apud Ludouicum Elzeuirium.

ANNO cIↄ. Iↄ cXIII.

22766

KONINKL. BIBLIOTHEEK TE 'SHAGE.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Amico Lectori.

AMice Lector, AEliani Tactica a Clariſsimo viro Sixto Arcerio in Latinum ſermonem conuerſa ac Notis illuſtrata, cum non pauci deſiderarent, neque quicquam præter auctoris præfationem deeſſet, quam ad conſtitutum Nundinarum tempus impetrare non potuimus, viſum eſt commodo ac vtilitati tuæ, imo & voto conſulendum. Damus ergo tibi ſcriptum hoc a multis expectatum, quo ἡ Τακτικὴ, *militiæ antiquæ pars præcipua, ita accurate a Romano homine, ſed* τῆς Ἑλληνικῆς εἰς τὸ ἄκρον εὐγλωττίας ἐληλακότι, *delineatur, vt deſiderari nihil debeat aut poſsit. Addidimus Tabulas nonnullas, quæ non tantum oblectarent oculos ac detinerent, ſed & informarent animum. Nam quemadmodum, vt ait Vmber ille noſter Philetas, oculi in amore ſunt duces, ita ſane in ſcientia ac intellectu. Nihil enim magis confert ad obſcura illuſtran-*

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ſtranda, & quæ intricata ſub antiquitate iacent, quam ſpectare coram, quæ traduntur. vt primo omnium in oculos incurrant, quæ in animum ſunt tranſmittenda, ſed per oculos: qui in hac re animi ſunt quaſi ſatellites ac adminiſtri. Si quid hic requiris, quod exiguum eſt neque quicquam ſpectat ad auctorem, proximis id Nundinis habebis: hoc interea nunc habe, id autem eſt quicquid tibi opus eſt ad hunc auctorem.

DE

DE AELIANO,

Ex Philoſtrato De Vitis Sophiſtarum, lib. II.

AἸΛΙΑΝΟ'Σ δὲ, Ῥωμαῖος μὲν ἦν, ἠττίκιζε δὲ ὥσπερ οἱ ἐν τῇ μεσογείᾳ Ἀθηναῖοι. ἐπαίνου μοι δοκεῖ ἄξιος ὁ ἀνὴρ οὗτος· πρῶτον μὲν ἐπειδὴ καθαρὰν φωνὴν ἐξηπόνησε, πόλιν οἰκῶν ἑτέρᾳ φωνῇ χρωμένην. ἔπειθ' ὅτι προσρηθεὶς σοφιστὴς ὑπὸ τῶν χαριζομένων τὰ τοιαῦτα, οὐκ ἐπίστευσεν, οὐδὲ ἐκολάκευσε τὴν ἑαυτοῦ γνώμην, οὐδὲ ἐπήρθη ὑπὸ τοῦ ὀνόματος οὕτω μεγάλου ὄντος, ἀλλ' ἑαυτὸν εὖ διασκεψάμενος ὡς μελέτῃ οὐκ ἐπιτήδειον, τὸ συγγράφειν ἐπέθετο καὶ ἐθαυμάσθη ἐκ τούτου. ἡ μὲν ἐπίπαν ἰδέα τοῦ ἀνδρὸς, ἀφέλεια, προσβάλλουσά τι τῆς Νικοστράτου ὥρας· ἡ δὲ ἐνίοτε, πρὸς Δίωνα ὁρᾷ, καὶ τὸν ἐκείνου τόνον. ἐντυχὼν δέ ποτε αὐτῷ Φιλόστρατος ὁ Λήμνιος βιβλίον ἔτι πρόχειρον ἔχοντι, καὶ ἀναγιγνώσκοντι αὐτὸ σὺν ὀργῇ καὶ ἐπιτάσει τοῦ φθέγματος, ἤρετο αὐτὸν, ὅ, τι σπουδάζοι. καὶ ὃς, ἐκπεπόνηταί μοι, ἔφη, κατηγορία τοῦ Γύννιδος. καλῶ γὰρ οὕτω τὸν ἄρτι καθῃρημένον τύραννον, ἐπειδὴ ἀσελγείᾳ πάσῃ τὰ Ῥωμαίων ᾔσχυνε. καὶ ὁ Φιλόστρατος, ἐγώ σε,

ÆLIANVS licet genere Romanus eſſet, non minus ſcite tamen Attice, quam vel mediterranei Athenienſes locutus eſt. Et ſane laude dignus vir ille mihi videtur: primum, quod cum habitaret in vrbe, quæ ſermone prorſus diuerſo vtebatur, Græcanicæ linguæ puritatem ſit conſecutus: deinde quod oblato ſibi (ab iis qui huiuſmodi titulos conferre ſolent) Sophiſtæ nomine, nullam de ſe fiduciam aut adulationem ſui, aut ſuperbiam ex tanti nominis honore conceperit: quin potius cum ſuas ipſe vires expendiſſet, easque declamatoriæ palæſtræ impares iudicaſſet, ad ſcribendum animum appulit, & admirationem inde conſequutus eſt. Dictio eius omnino pura, ſimplex & inaffectata eſt, vt Nicoſtrati elegantiæ lepôrem quendam adhibeat. Eſt quando Dionem, eiuſque dicendi genus & tonũ imitatur. Hunc olim Lemnius Philoſtratus librum adhuc manibus tractantem, indignanterque & concitate lectitantem reperit. & cum inſtituti eius rationem quæreret, Gynnidis (hoc eſt effæminati hominis) accuſationem a ſe conſcriptam dixit. Sic autem vocare ſe tyrannum, qui paulo ante Romano imperio infamiæ labem laſciuia ſua inuſſiſſet. Cui Philoſtratus,

tus,

εἶπεν, ἐθαύμαζον ἄν, ζῶντος κατηγόρησας. εἶναι γὰρ δὴ τὸ μὲν ζῶντα τὸν τύραννον ἐπικόπτειν, ἀνδρός· τὸ δὲ ἐπεμβαίνειν κειμένῳ, παντός. ἔφασκε δὲ ἀνὴρ οὗτος μήδ᾽ ἀποδεδημηκέναι πῃ τῆς γῆς ὑπὲρ τὴν Ἰταλῶν χώραν, μηδὲ ἐμβῆναι ναυῒ, μηδὲ γνῶναι θάλατταν. ὅθεν καὶ λόγου πλείονος κατὰ τὴν Ῥώμην ἠξιοῦτο, ὡς τιμῶν τὰ ἤθη. Παυσανίου μὲν οὖν ἀκροατὴς ἐγένετο. ἐθαύμαζε δὲ τὸν Ἡρώδην ὡς ποικιλώτατον ῥητόρων. ἐβίω δὲ ὑπὲρ τὰ ἑξήκοντα ἔτη. καὶ ἐτελεύτα οὐκ ἐπὶ παισί. παιδοποιΐαν γὰρ παρῃτήσατο, τῷ μὴ γῆμαί ποτε. τοῦτο δὲ εἴτε εὔδαιμον, εἴτε ἄθλιον, οὐ τοῦ παρόντος καιροῦ φιλοσοφῆσαι.

tus; *Admirarer* (inquit) *ſi viuentem accuſaſſes: ſiquidem viuentem tyrannum perſtringere, viri opus cenſeo: functum vero fato laceſſere, cuiuſuis.* Prædicabat de ſe Ælianus nunquam ſe fines Italiæ egreſſum: nauem nunquam conſcendiſſe, neque nouiſſe mare. quare in magna erat auctoritate, veluti patrii moris ſtudioſe obſeruans. Docentem audiuit Pauſaniam. Herodem vero tanquam ſcitiſſimum, & vario ſermonis artificio præſtantiſſimum inter rhetores admiratus eſt. viuendo annum ſexageſimum exceſſit, & ſine liberis defunctus eſt, cum matrimonio neglecto, procreationem prolis ſpreuiſſet: quod quidem felicius an miſerius ſit, diſceptare nunc tempeſtiuum non eſt.

DE

DE ÆLIANO, *Ex Suidâ.*

A'Ιλιανὸς ἀπὸ Πραινέστου τῆς Ἰταλίας, ἀρχιερεὺς καὶ σοφιστὴς, ὁ χρηματίσας Κλαυδίῳ, ὃς ἐπεκλήθη Μελίγλωσσος ἢ Μελίφθογγος. καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ αὐτῇ ἐπὶ τῶν Ἀδριανοῦ χρόνων.

AE Lianus Præneſte in Italiâ natus, Pontifex & Sophiſta, prænomine Claudius, cognominatus verò Meligloſſus vel Meliphtongus (*ob ſuauiloquentiam*) poſt Adriani tempora Romæ Rhetoricam docuit.

Iſaacus Cauſabonus ad Polybium.

AE Lianus, homo eruditiſſimus, qui Traiani & Hadriani temporibus viuebat, præſtans eius doctrinæ auctor, quæ Tactice appellatur, & pars quaſi quædam Hiſtoriæ eſt; certè ita illi coniuncta, vt neque hæc ſine illa poſſit rectè intelligi; neque illa ſine hac doceri rite queat.

CLAV-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

CLAVDII
ÆLIANI
TACTICA:

SIVE

De Aciebus conſtituendis,

AD

Adriannm Imperatorem.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ΚΛΑΥΔΙΟΥ
ΑΙΛΙΑΝΟΥ
ΤΑΚΤΙΚΑ.
ΠΡΟΟΙΜΙΟΝ
πρὸς
ΑΔΡΙΑΝΟΝ
αὐτοκράτορα.

Τὴν παρὰ τοῖς Ἕλλησι τακτικὴν θεωρίαν ἀπὸ τῶν Ὁμήρου χρόνων τὴν ἀρχὴν λαβοῦσαν, αὐτοκράτορ καῖσαρ υἱὲ Θεοῦ Ἀδριανὲ Σεβαστέ, πολλοὶ τῶν πρὸ ἡμῶν συνέγραψαν οὐκ ἔχοντες ἣν ἡμεῖς ἐν τοῖς μαθήμασιν ἐπιστεύθημεν ἕξιν ἔχειν. ἐμαυτὸν δὲ πείθων ἐβουλήθην ταύτην συντάξαι τὴν θεωρίαν, ὅτι τοῖς ἡμετέροις οἱ μεθ' ἡμᾶς παρὰ τῶν ἀρχαιοτέρων προσέξουσι συγγράμμασι. τοῦ δὲ παρὰ Ῥωμαίοις τὸ μέρος τοῦτο δυνάμεως καὶ ἐμπειρίας οὐκ ἔχων γνῶσιν· δεῖ γὰρ ὁμολογεῖν ἀληθῆ· ὄκνῳ κατειχόμην περὶ συγγράφειν, καὶ παραδιδόναι τὸ μάθημα τοῦτο ὡς ἀπημαυρωμένον, καὶ πάλαι μηδὲν ἔτι χρήσιμον τῷ βίῳ, μετὰ τὴν ἐφευρεθεῖσαν ὑφ' ὑμῶν δι-

CLAVDII
ÆLIANI
TACTICA.
PRÆFATIO
AD
ADRIANVM
Imperatorem.

Scientiam Tacticam quæ ſumpto ab Homeri temporibus primordio apud Græcos in vſu fuit; multi, Diue Adriane Cæſar Auguſte, ante nos conſcripsêre, qui non eam habebant diſciplinarum cognitionem, quâ nos pollere res ipſa fidem fecit. Quare ſcientiæ huius præcepta componere atque in ordinem redigere volui, quod mihi perſuaderem, poſteros noſtra præ antiquiorum hac de re ſcriptis probaturos. Quia vero ignorabam (nam verum fatendum eſt) quanta fuiſſet hac in parte Romanorum & facultas, & peritia; torpore corripiebar conſcribendæ, ac tradendæ huius diſciplinæ, vt quæ poſt inuentam a vobis doctrinam iam obſoleta, atque olim non amplius vſum in

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

communi vitâ habitura eſſet. At poſteaquam cum Deo patre tuo Nervâ ſuper eo contuli, ac Formijs transactis aliquot diebus apud Frontinum, e clariſsimis Conſularibus virum, quiq́; peritiæ bellicæ laudem aſportauit, collatis cum eo quoq́; ſermonibus comperi, non minore illum ſtudio teneri diſciplinæ Græcis vſitatæ: cœpi non amplius, quod de conſcribendis Tacticis conceperam, vilipendere: autumans haud tantum in eâ ſtudij, operæq́; poſitum iri a Frontino, ſiquidem videretur Romanorum inſtructione deterius quid, minusve continere. Itaque datâ aliquando a me ſcripto rudiore formâ, quæ tamen editioni nondum apta foret; tuâ, Imperator, fortitudine, ac peritiâ ſumma, queis omnes ſimul excellis, quotquot vnquam belli Duces exſtitêre, impulſus ſum hanc operam perficere non perpulchram modo, ſed quæ etiam apud eos, qui in hac ſcientiâ operam diligentem poſuêre, priſcorum Græcorum commentarios eleuare poterit. nam perſpicuitatis ratione affirmanter aio, eos, qui in hoc ſcriptum incident, maiorem ex huius inſtitutione profectum facturos, quam ex antiquiorum commentationibus, quod nimirum hîc ſingula ordine explicata ſint. Equidem tibi,

διδασκαλίαν. ἐπεὶ δὲ τῷ Θεῷ πατρί σου Νέρουᾳ συμβαλὼν παρὰ Φροντίνῳ τῶν ἐπισήμων ὑπατικῶν ἐν Φορμίαις ἡμέρας τινὰς διέτριψα, δόξαν ἐπενηνεγμένῳ περὶ τὴν ἐν τοῖς πολέμοις ἐμπειρίαν, συμβαλὼν τῷ ἀνδρὶ εὗρον οὐκ ἐλάττονα σπουδὴν ἔχοντα εἰς τὴν παρὰ τοῖς Ἕλλησι τεθεωρημένην μάθησιν, ἠρξάμην οὐκέτι περιφρονεῖν τῆς τῶν τακτικῶν συγγραφῆς, οὐκ ἂν σπουδάζεσθαι παρὰ Φροντίνῳ δοκῶν αὐτήν, εἴπερ τι χεῖρον ἐδόκει τῆς Ῥωμαϊκῆς διατάξεως περιέχειν αὐτήν. πεποιηκὼς οὖν πώποτε ζυγγράμματος διατύπωσιν, μήπω δὲ πρὸς ἔκδοσιν ἑτοίμην εἶναι, διὰ τὴν σὴν ἀνυπέρβλητον, Αὐτοκράτορ, ἀνδρείαν τε καὶ ἐμπειρίαν δι᾽ ὧν πάντας ἁπλῶς τοὺς ποτε γενομένους κατὰ πόλεμον στρατηγοὺς ὑπερβάλλεις, παρωρμήθην τελειῶν τὴν πραγματείαν καλὴν σφόδρα, καὶ τοῖς ἐσπουδακόσι περὶ ταύτην τὴν θεωρίαν παραγκωνίσασθαι δυναμένην τὰ τῶν ἀρχαίων Ἑλλήνων συντάγματα. σαφηνείας γὰρ ἕνεκεν βεβαιούμενος λέγω, τοὺς ἐντευξομένους τῇ δὲ τῇ συγγραφῇ ἔνθεν μᾶλλον, ἢ παρὰ τῶν πρεσβυτέρων στοιχειωθήσεσθαι, διὰ τὸ κατὰ τάξιν ἕκαστα δεδηλῶσθαι. οὐκ ἐθάρσησα μέντοι πέμψαι σοι τὸ σύγγραμμα τηλικούτων πολέμων στρατηγῷ, μήπως εὐτελέστερα φανῇ τὰ

Imperator, tantorum bellorum Duci mittere hoc ſcriptum non ſum au-

δι

δι' ἡμᾶς ὑφηγούμενα. ἂν δὲ ταῖς ἐπινοίαις σου ταῦτα παραβάλης. ὡς Ἑλληνικὴν θεωρίαν, ἐν ᾗ καὶ τοῦ Μακεδόνος Ἀλεξάνδρου τὴν ἐν ταῖς παρατάξεσιν ἐπιβολὴν θεωρήσεις, ψυχαγωγίαν παρέξει σοι τὸ σύγγραμμα. διὰ μέντοι τὰς ἀσχολίας προέγραψα τὰ κεφάλαια τῶν ἀποδεικνυμένων, ἵνα πρὸ τῆς ἀναγνώσεως τοῦ βιβλίου τὸ ἐπάγγελμα τοῦ συγγράμματος δι' ὀλίγων κατανοήσης, καὶ οὓς ἂν ἐπιζητήσεις ἀναγνωσθῆναι τόπους ῥαδίως εὑρίσκων τοὺς χρόνους μὴ τρίβῃς.

ſus, veritus ne forte tenuiora videantur, quæ a nobis traduntur. Quod ſi tamen hæc ita tecum repetes, vt cogites eſſe Græcanicam ſcientiam, ac vt elegantem, ita iucundam hiſtoriam, in quâ etiam Alexandri Macedonis ſtudium in acierum conſtructionibus contemplabere, recreationem nonnullam animo tuo præbebit hoc ſcriptum. Atqui propter negotia, quibus iugi occuparis, eorum quæ demonſtrantur, ſumma capita præſcripſi, vt prius quam lecturæ libri te applices, paucis quid promittat ſcriptum intelligas, & quæcunque loca legenda quæres, facile ea ſine magno temporis diſpendio inuenire poſſis.

FINIS PROOEMII.

CAPITVM,
Quæ in his AEliani Tacti-cis tractantur,
CONSPECTVS.

CAP. I. *De autoribus, qui Tacticos, & Strategicos libros conſcripsêre. De libro hoc, & quod horum diſciplina ſit omnium vtiliſſima.*

CAP. II. *Apparatuum belli integrorum diuiſio.*

CAP. III. *De ſingalarum Phalangum Conſtitutionibus, Præfecturis, Ordinibus, Numero conuenienti, Nominibus. & Tactica Definitione.*

CAP. IV. *Decuria quid ſit, & e quot conſtet viris.*

CAP. V. *De Decuriæ diſpoſitione.*

CAP. VI. *De Syllochiſmo, ſeu Decuriarum coniunctione.*

CAP. VII. *De Phalange, eiuſq; Longitudine, & Altitudine. Jugare quid, & Verſare. Quomodo diuidatur Phalanx in cornua per Altitudinem. & aliter per Longitudinem. De ordinatione Peditum grauis armaturæ, Velitum, atque Equitum.*

CAP. VIII. *De numero Peditum grauis armaturæ, Velitum atque Equitum ad agminum tranſformationes conuenienti:*

CAP. IX. *Nomina Decuriarum, quæ duplicatæ procedunt ſemper vel*

ΚΕΦ. α΄. Περὶ συγγραφέων τῶν τακτικὰ, καὶ στρατηγικὰ βιβλία συνταξαμένων. περὶ τῆς παρούσης βίβλου· καὶ ὅτι τὸ τούτων μάθημα πάντων χρησιμώτατον.

ΚΕΦ. β΄. Τῶν εἰς τοὺς πολέμους τελειῶν παρασκευῶν διαίρεσις.

ΚΕΦ. γ΄. Περὶ τῶν καθ' ἑκάστην φάλαγγα συστημάτων, ἡγεμονιῶν, τάξεων, ἀριθμοῦ ἐπιτηδείου, ὀνομάτων, καὶ τοῦ τῆς τακτικῆς ὁρισμοῦ.

ΚΕΦ. δ΄. Λόχος τί· καὶ ἐκ πόσων συνέστηκεν ἀνδρῶν.

ΚΕΦ. ε΄. Περὶ τῆς τοῦ λόχου διατάξεως.

ΚΕΦ. ϛ΄. Περὶ συλλοχισμοῦ.

ΚΕΦ. ζ΄. Περὶ φάλαγγος, καὶ τοῦ κατ' αὐτὴν μήκους τε καὶ βάθους. ζυγεῖν, καὶ στοιχεῖν τί. πῶς διαιρεῖται ἡ φάλαγξ εἰς κέρατα δι' ὅλου τοῦ βάθους, καὶ ἄλλως διὰ τοῦ μήκους. περὶ τῆς τῶν ὁπλιτῶν, καὶ ψιλῶν, καὶ ἱππέων τάξεως.

ΚΕΦ. η΄. Περὶ τοῦ τῶν τε ὁπλιτῶν, καὶ ψιλῶν, καὶ ἱππέων ἀριθμοῦ, τοῦ πρὸς τοὺς μετασχηματισμοὺς τῶν ταγμάτων ἐπιτηδείου.

ΚΕΦ. θ΄. Ονόματα λόχων, ὧν τὰ τάγματα ἀεὶ διπλωθέντα προχωροῦσι

(ἤγουν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

(ἤγουν κατὰ λόχους δύο, τέτταρας, ὀκτὼ, ἑκκαίδεκα, καὶ οὕτως ἐφεξῆς) καὶ πόσοι καθ' ἕκαστα ταγμάτων ἄνδρες, καὶ λόχοι, καὶ ἡγεμόνων ὀνόματα.

ΚΕΦ. ι'. Περὶ τάξεως τῶν Φαλαγγαρχῶν, Μεραρχῶν, Τεραρχῶν, καὶ ἄλλων ἡγεμονιῶν κατὰ τὴν τῆς ἑκάστου ἀρετῆς διαφοράν.

ΚΕΦ. ια'. Περὶ διαστημάτων, ὧν ἀπ' ἀλλήλων ἀφεστᾶσιν οἱ ὁπλῖται, καὶ ἁπλῶς τεταγμένοι, καὶ πεπυκνωμένοι, καὶ συνησπικότες. πύκνωσις, καὶ συνασπισμός τι.

ΚΕΦ. ιβ'. Περὶ ὁπλίσεως τῆς φάλαγγος ἀσπίσι, καὶ δόρασι.

ΚΕΦ. ιγ'. Ποίους δεῖ εἶναι τοὺς λοχαγοὺς τοῦ πρώτου ζυγοῦ. εἶτα καὶ τοὺς ἐπιστάτας τοῦ δευτέρου, καὶ τρίτου, καὶ τῆς ἐφεξῆς.

ΚΕΦ. ιδ'. Περὶ Μακεδονικῆς φάλαγγος, καὶ τοῦ τῶν Σαρισσῶν μήκους.

ΚΕΦ. ιε'. Περὶ τῆς τῶν ψιλῶν συντάξεως.

ΚΕΦ. ιϛ'. Περὶ ὀνομάτων καὶ τάξεων τῶν ψιλῶν.

ΚΕΦ. ιζ'. Περὶ ἀκοντιστῶν, τοξοτῶν, καὶ πάντων ἀκροβολιζόντων, τῆς τε αὐτῶν χρείας.

ΚΕΦ. ιη'. Πῶς τοὺς ἱππεῖς συντακτέον, Ῥομβοειδῶς, Ἐμβολοειδῶς, ἢ ἐν σχήματι τετραγώνῳ.

ΚΕΦ. ιθ'. Διά τι αἱ τῶν ἱππέων τάξεις Ῥομβοειδεῖς παρειληφθήσαν. καὶ ὅπως αὐτὰς διαφόρως οἱ παλαιοὶ ἐσχημάτισαν, ὥστε τὰς μὲν στοιχεῖν ὁμοῦ, καὶ ζυγεῖν· τὰς δὲ, οὔτε στοιχεῖν, οὔτε ζυγεῖν· ἄλλας πάλιν στοιχεῖν μόνον, οὐ ζυγεῖν, καὶ ἄλλας ζυγεῖν μὲν, οὐ στοιχεῖν.

per binas, vel per quaternas, vel octo; vel ſedecim: atque ita deinceps. Quot in ſingulis agminibus ſint viri, quot Decuriæ, & quæ Ducum nomina.

CAP. X. De ordinatione Phalangarcharum, Merarcharum, Tetrarcharum, & aliarum Præfecturarum ſecundum virtutis cuiusque præſtantiam.

CAP. XI. De internallis, quibus inter ſe diſtant Pedites grauis armaturæ, tum alias ſimpliciter nimirum ordinati, tum condenſati, ac conſtipati: Quid ſit Denſatio, & Synaſpiſmus, ſeu Conſtipatio.

CAP. XII. De Phalangis armatura, quæ conſtat clypeis & haſtis.

CAP. XIII Quales oporteat eſſe Lochagos primi iugi: deinde Epiſtatas ſecundi, tertij, & reliquorum deinceps.

CAP. XIV. De Macedonicâ Phalange, & Sariſſarum longitudine.

CAP. XV. De Velitum coordinatione.

CAP. XVI. De nominibus, & ordinibus Velitum.

CAP. XVII. De Iaculationibus, Arquutibus, & omnibus, qui telis eminus vtuntur, deq; eorum vſu.

CAP. XVIII. Quomodo Equites in Rhombi-formam, Cunei, aut Quadratam conſtruendi.

CAP. XIX. Quare acies Equitum Rhombi formes in vſum admiſſæ. & quomodo veteres varijs formis eas inſtruxerint, ita vt aliæ & Verſarent ſimul, & Iugarent: aliæ neq; Verſarent, neque Iugarent: aliæ rurſus Verſarent tantum, non Iugarent quidem, non etiam Verſarent.

CAP. XX. *De ordinatione Turmarum, deq; earundem nominibus, atque Equitum, qui in ſingulis numero.*

CAP. XXI. *Quod ad formas Acierum, earumq; transformationes multum ſtudij, exercitationisq; requiratur.*

CAP. XXII. *De Curruum atq; Elephantorum Constructione, deque ſingulorum vſitatis olim appellationibus.*

CAP. XXIII. *De quibusdam nominibus ad Formarum motiones vtilibus cum in Armorum exercitijs, tum ipſis certaminibus.*

CAP. XXIV. *De Inclinatione, ac Immutatione, vtraq; vel in Haſtam, vel in Clypeum, ſiue ab hoſte, vel in hoſtem. De Conuerſione, Reuerſione, Periſpaſmo, & Ecperiſpaſmo.*

CAP. XXV. *Verſare quid, & Iugare. & quid In rectum reſtitui.*

CAP. XXVI. *De Euolutionibus, quod earum duo ſint genera: vnum per Verſus, per Iuga alterum. de earum differentiâ, quâ alia Macedonica, alia Laconica, alia Choræa dicitur.*

CAP. XXVII. *De modis, quibus Euolutiones fiunt.*

CAP. XXVIII. *De Duplicationibus, quod earum duo ſint genera, vel ſecundum Iuga, vel ſecundum Altitudinem. quomodo vtrumque genus duplicetur, vel Numero, vel Loco. & vt rurſum reſtituatur.*

CAP. XXIX. *De Phalange Transverſâ, Rectâ, & Obliquâ.*

CAP. XXX. *De Interiectione, Præpoſitione, Poſtpoſitione, Adpoſitione, Impoſitione, & Subiunctione.*

CAP. XXXI. *Quomodo Agmina ſint conuertenda, inflectenda, & circumflectenda, idq; in Haſtam, vel in Cly-*

ΚΕΦ. κ΄. Περὶ τῆς τῶν ἰλῶν τάξεως, καὶ ὀνομασιῶν, καὶ ἱππέων ἐν ἑκάσταις ἀριθμοῦ.

ΚΕΦ. κα΄. Ὅτι περὶ τὰ σχήματα τῶν τάξεων, καὶ τοὺς αὐτῶν μετασχηματισμοὺς πολλῆς σπουδῆς, καὶ γυμνασίας δεῖται.

ΚΕΦ. κβ΄. Περὶ τῆς τῶν ἁρμάτων τε, καὶ ἐλεφάντων συντάξεως, καὶ τῶν ἐν ἑκάστοις ὀνομασιῶν.

ΚΕΦ. κγ΄. Περὶ τινῶν ὀνομάτων, ὧν πρὸς τὰς τῶν σχημάτων κινήσεις ἔν τε ταῖς ἐξοπλισίαις, καὶ αὐτοῖς ἀγῶσιν, ἡ χρῆσις σύμφορος.

ΚΕΦ. κδ΄. Περὶ κλίσεως, καὶ μεταβολῆς, ἑκατέρας τῆς τε ἐπὶ δόρυ, καὶ τῆς ἐπ᾿ ἀσπίδα, ἢ ἀπὸ πολεμίων, καὶ ἐπὶ πολεμίους. περὶ Ἐπιστροφῆς, Ἀναστροφῆς, Περισπασμοῦ, καὶ Ἐκπερισπασμοῦ.

ΚΕΦ. κε΄. Στοιχεῖν τι, καὶ ζυγεῖν, καὶ ἐπ᾿ ὀρθὸν ἀποδοῦναι.

ΚΕΦ. κϛ΄. Περὶ Ἐξελιγμῶν, ὅτι δύο αὐτῶν γένη, τὸ μὲν κατὰ λόχους, τὸ δὲ κατὰ ζυγά. περὶ διαφορᾶς αὐτῶν, καθ᾿ ἣν ὁ μὲν Μακεδὼν, ὁ δὲ Λάκων, ὁ δὲ Χορεῖος.

ΚΕΦ. κζ΄. Περὶ τρόπων, καθ᾿ οὓς οἱ ἐξελιγμοὶ γίνονται.

ΚΕΦ. κη΄. Περὶ Διπλασιασμῶν, ὅτι δύο αὐτῶν γένη, ἤτοι κατὰ ζυγὰ, ἢ κατὰ βάθος. πῶς καθ᾿ ἑκάτερον τὸ γένος ἡ Φάλαγξ διπλασιάζεται, ἢ τῷ ἀριθμῷ, ἢ τῷ τόπῳ. καὶ πῶς πάλιν ἀποκαθίσταται.

ΚΕΦ. κθ΄. Περὶ Φάλαγγος πλαγίας, ὀρθίας, καὶ λοξῆς.

ΚΕΦ. λ΄. Περὶ Παρεμβολῆς, Προτάξεως, Ἐπιτάξεως, Προστάξεως, Εντάξεως, καὶ Ὑποτάξεως.

ΚΕΦ. λα΄. Πῶς τὰ συντάγματα δεῖ ἐπιστρέφειν, καὶ περισπᾶν, καὶ ἐκπερισπᾶν, καὶ ἕκαστον τούτων ἐπὶ δόρυ, ἢ ἐπ᾿ ἀσπίδα.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ἀσπίδα· καὶ πῶς ἀποκαταστῆσαι εἰς τὴν προϋπαρχοῦσαν τάξιν.

ΚΕΦ. λβʹ. Πῶς δεῖ πυκνῶσαι τὴν Φάλαγγα ἐπὶ κέρας ἑκάτερόν τε, καὶ ἐπὶ τὸ μέσον· καὶ πῶς ἀποκαταστῆσαι εἰς τὴν ἐξ ἀρχῆς τάξιν.

ΚΕΦ. λγʹ. Περὶ τῆς τῶν εἰρημένων Μεταβολῶν, Ἐπιστροφῶν, Περισπασμῶν, Ἐκπερισπασμῶν· καὶ Ἀποκαταστάσεων χρείας· τῆς τε τῶν Ἐξελιγμῶν χρείας ὁμοῦ καὶ διαφορᾶς.

ΚΕΦ. λδʹ. Ὅτι δεῖ δυνάμεις τάς τε πεζικὰς, καὶ ἱππικὰς ἐθίζειν, τὰ μὲν φωνῇ, ἢ διὰ σάλπιγγος, τὰ δὲ διὰ σημείων ὁρατῶν.

ΚΕΦ. λεʹ. Περὶ πορειῶν τοῦ στρατοῦ· περὶ ὀρθίας ἐν αὐταῖς Ἐπαγωγῆς, καὶ Παραγωγῆς, ἢ ἐν δεξιᾷ, ἢ ἐν εὐωνύμῳ. καὶ ὅτι πρὸς ὀρθίαν Ἐπαγωγὴν ἀντιτάττεται ὁ Κοιλέμβολος, ὥσπερ, καὶ πρὸς τοῦτον ἡ Τριφαλαγγία.

ΚΕΦ. λϛʹ. Περὶ Παραγωγῆς δεξιᾶς τε, καὶ εὐωνύμου.

ΚΕΦ. λζʹ. Περὶ Ἀντιστόμου Φάλαγγος.

ΚΕΦ. ληʹ. Περὶ Ἀμφιστόμου φάλαγγος.

ΚΕΦ. λθʹ. Περὶ Ἀντιστόμου Διφαλαγγίας, καὶ ἀντιμαχομένης αὐτῇ ἱππικῆς ἴλης Ἐμβολοειδοῦς.

ΚΕΦ. μʹ. Περὶ Ἀμφιστόμου Διφαλαγγίας, καὶ Περιστόμου.

ΚΕΦ. μαʹ. Περὶ Ὁμοιοστόμου Φάλαγγος. καὶ ἀντιτεταγμένου αὐτῇ Πλινθίου· καὶ περὶ Ὁμοιοστόμου Διφαλαγγίας.

ΚΕΦ. μβʹ. Περὶ Ἑτεροστόμου Φάλαγγος.

ΚΕΦ. μγʹ. Περὶ ἱππικῆς Ῥομβοειδοῦς ἴλης, καὶ ἀντιτεταγμένης αὐτῇ

peum: & vt denuo in priorem ordinem reſtituenda.

CAP. XXXII *Quomodo denſare Phalangem oporteat. ad dextrum ſiniſtrumque cornu, vel in medio: & quomodo in priorem ordinem reſtituere.*

CAP. XXXIII. *De dictarum Immutationum, Conuerſionum Inflexionum, Circumflexionum, & Reſtitutionum vſu: deq; eodem Euolutionum ſimul, & Differentiâ.*

CAP. XXXIV. *Quod copias tam pedeſtres, quam Equeſtres tum voce, aut tubâ, tum ſignis viſibilibus adſuefacere oporteat.*

CAP. XXXV. *De modis, quibus in itineribus incedit Exercitus. de rectâ in ÿs Epagoge, & Paragoge, eâq; vel in Dextra, vel in Siniſtra. Quod rectæ Epagoge opponatur Cœlembolus, ſeu Cuneus cauus; & quod huic Triphalangia.*

CAP. XXXVI. *De Paragoge dextrâ, & ſiniſtrâ.*

CAP. XXXVII. *De Antiſtomo Phalange.*

CAP. XXXVIII. *De Amphiſtomo Phalange.*

CAP. XXXIX. *De Antiſtomo Diphalangia, & quæ aduerſa illi pugnat, Turma Equeſtri Cunei-formi.*

CAP. XL. *De Amphiſtomo Diphalangia, & Periſtomo.*

CAP. XLI. *De Homœoſtomo Phalange, & quæ illi opponitur, Plinthio. & de Homœoſtomo Diphalangia.*

CAP. XLII. *De Heteroſtomo Phalange.*

CAP. XLIII. *De Equeſtri Turmâ Rhombi-formi, & oppoſitâ ei Phalange*

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Luni-formi.

CAP. XLIV. *De Turmâ Equitum oblongâ, & quæ illi opponitur, Phalange Peditum Tranſuerſâ.*

CAP. XLV. *De alterâ Turmâ Rhombiformi, quæ verſat quidem, non etiam iugat: & de oppoſitâ ei Acie Pedeſtri, quæ Inflexa Antrorſum vocatur.*

CAP. XLVI. *De Pedeſtri Phalange, Inflexâ retrorſum, & quæ illi opponitur, Incuruâ, ſeu Gibbâ.*

CAP. XLVII. *De Turmâ Equitum formâ quidem Oblonga, ſed non Numero: & de Phalange, quæ ei opponitur, Embolo, ſeu Cuneo.*

CAP. XLVIII. *De Plæſio: & quæ ei opponitur, Acie Implexâ.*

CAP. XLIX. *De Hyperphalangiſi, Hyperceraſi, & Leptyſmo.*

CAP. L. *De modis, quibus Impedimenta ducuntur, quodq́; ij ſint quinq́;.*

CAP. LI. *De Præceptis Imperatorijs, quod & breuia ea eſſe oporteat, & non ambigua.*

CAP. LI *Quod ante omnia ſilentium imperari debeat: & vt ad id quod præcipietur, attenti ſint milites.*

CAP. LII. *Varia præcepta imperatoria quomodo enuntientur. Præſentis ſcripti Epilogus.*

Φάλαγγος Μηνοειδοῦς.

ΚΕΦ. μδ΄. Περὶ ἴλης ἱππέων ἑτερομήκους, καὶ ἀντικειμένης αὐτῇ πεζικῆς Φάλαγγος πλαγίας.

ΚΕΦ. μέ. Περὶ ἑτέρας ἴλης ἱππέων Ῥομβοειδοῦς, ἥτις στοιχεῖ μὲν, οὐ ζυγεῖ. καὶ ἀντικειμένης αὐτῇ πεζικῆς τάξεως, Ἐπικαμπίου ἐμπροσθίας.

ΚΕΦ. μϛ΄. Περὶ πεζικῆς Φάλαγγος, Ἐπικαμπίου, Ὀπισθίας, καὶ περὶ Κυρτῆς ἀντικειμένης αὐτῇ.

ΚΕΦ. μζ΄. Περὶ ἴλης ἱππέων τετραγώνου μὲν τῷ σχήματι, ἀλλ' οὐ τῷ ἀριθμῷ· καὶ ἀντικειμένης αὐτῇ Ἐμβόλου Φάλαγγος.

ΚΕΦ. μή. Περὶ Πλαισίου· καὶ ἀντιτεταγμένης αὐτῷ τάξεως πεπλεγμένης.

ΚΕΦ. μθ΄. Περὶ Ὑπερφαλαγγίσεως, Ὑπερκεράσεως, καὶ Λεπτυσμοῦ.

ΚΕΦ. ν΄. Περὶ τῆς τῶν σκευοφόρων ἀγωγῆς, καὶ ὅτι τρόποι αὐτῆς πέντε.

ΚΕΦ. νά. Περὶ παραγγελμάτων ἡγεμονικῶν, ὅτι δεῖ αὐτὰ σύντομά τε εἶναι, καὶ μὴ ἀμφίβολα.

ΚΕΦ. νβ΄. Ὅτι πρὸ πάντων παραγγελτέον σιωπὴν, καὶ κελευστέον, προσέχειν τῷ παραγγελλομένῳ.

ΚΕΦ. νγ΄. Παραγγέλματα ἡγεμονικὰ παντοῖα πῶς προφέρεται. καὶ τοῦ παρόντος συγγράμματος ἐπίλογος.

Finis capitum conſpectus.

ΚΕΦ. Α.

ΚΕΦΑ'ΛΑΙΟΝ α'.

Περὶ συγγραφέων τῶν τακτικὰ, καὶ στρατηγικὰ βιβλία συνταξαμένων. περὶ τῆς παρούσης βίβλου· καὶ ὅτι τὸ τούτων μάθημα πάντων χρειωδέστατον.

Πρῶτος μὲν ὧν ἴσμεν, δοκεῖ τὴν Τακτικὴν θεωρίαν Ὅμηρος ἐπεγνωκέναι, θαυμάζειν δὲ τοὺς ἐπιστήμονας αὐτῆς, ὥσπερ Μνησθέα·

Τῷ δ' οὔτις μὲν ὅμοιος ἐπιχθόνιος γένετ' ἀνὴρ,
Κοσμῆσαι ἵππους τε, καὶ ἀνέρας ἀσπιδιώτας.

Καὶ περὶ τῆς καθ' Ὅμηρον Τακτικῆς ἐντύχομεν συγγραφεῦσι, Στρατοκλεῖ τε Ἑρμείᾳ, καὶ Φρόντωνι τῷ καθ' ἡμᾶς ὑπατικῷ ἀνδρί. ἐξειργάσαντο δὲ τὴν θεωρίαν Αἰνείας τε διὰ πλειόνων καὶ στρατηγικὰ βιβλία ἱκανῶς συνταξάμενος ὧν ἐπιτομὴν ὁ Θεσσαλὸς Κινέας ἐποίησε. Πύρρος τε ὁ Ἠπειρώτης τακτικὰ συνέγραψε, καὶ Ἀλέξανδρος ὁ τούτου υἱὸς, καὶ Κλέαρχος. ἔτι δὲ Παυσανίας, Εὐάγγελός τε, καὶ Πολύβιος ὁ Μεγαλαπολίτης, ἀνὴρ πολυμαθὴς, Σκιπίωνι συγγενόμενος, Εὐπόλεμός τε καὶ Ἰφικράτης. ὁ δὲ στωϊκὸς Ποσειδώνιος καὶ τέχνην Τακτικὴν ἔγραψεν. ἄλλοι τε πλείους οἱ μὲν εἰσαγωγὰς, ὡς Βίων, οἱ δὲ καὶ τοπικὰς πραγματείας ἐξέδωκαν οἷς πᾶσιν ἐγκυρήσας ἀπειρόκαλον ἡγοῦμαι πάντων μεμνῆσθαι. ἐπέγνων δὲ, ὡς ἔπος εἰπεῖν, τοὺς συγγραφεῖς, ὡς εἰδόσι τὰ πράγματα

Caput I.

De autoribus, qui Tacticos, & Strategicos libros conſcripsêre. De libro hoc, & quod horum diſciplina ſit omnium utiliſſima.

Primus omnium, quod quidem ſcimus, cognitionem habuiſſe ſcientiæ Tacticæ videtur Homerus, eiusque peritos laudaſſe vt Mneſtheum:

Inter mortaleis erat illi nemo ſecundus,
Formaret qui acies melius Peditumque Equitumque.

Ac de Tacticâ Homeri tempore vſitatâ legi Scriptores, Stratoclem, Hermiam, ac Frontinum, virum noſtro tempore conſularem. In tradendâ autem hac ſcientiâ pluribus elaborauit cum Æneas, qui quoque quamplurimos Strategicos libros compoſuit, quos in compendium poſtea redegit Cineas Theſſalus: tum Pyrrhus Epirota, eiusque filius Alexander, ac Clearchus, qui etiam Tactica conſcripsêre: Pauſanias inſuper, & Euangelus, & Polybius Megalopolitanus, vir multifariæ eruditionis, & qui cum Scipione verſatus eſt: Eupolemusq;, ac Iphicrates. Poſidonius etiam Stoicus artem Tacticam ſcripſit. Quin & aliorum complurium quidam Iſagogas, vt Bion, quidam tractatus Topicos edidere. Sed vt omnes commemorem, quos videre, ac legere contigit, ineptum arbitror. Vt tamen verbo, quod res eſt, dicam, comperi plerosque iſtorum autorum conſcripſiſſe res illas non ad

rudiorum hominum captum, ſed eorum, qui eas iam callebat. Quod igitur, cum primum deſiderio cognoſcendæ huius rei teneremur, nobis accidit, nec, qui eam nos docerent, inuenientibus, nec tamen autumantibus ea, quæ ante nos edita erant, tradendæ huic diſciplinæ ſufficere, idem ne alijs quoque vſu veniat, pro virili conabimur. Quotieſcunq; verò in expoſitione præceptorũ ſermo mihi deficiet, ad exprimendas res deſcriptionem figurarum in ſubſidium aſſumam, vt ita viſum intellectui adiutorem adhibeam. & quidem ijs vti vocabulis annitar, quæ apud quemque veterum occurrunt; vt qui huic ſcripto, tanquam primis rudimentis, addicti erunt, tum in nominibus, tum in conſuetudine nominum, quæ ab ipſis vſurpantur, coëxercitati, ipſi quoque ijſdem vti nominibus adſueſcant, quæ apud Scriptores Tacticos in vſu ſunt: neu peregrinum, & inſolens quid ipſis videatur, cum in eorum ſcriptis verſabuntur. Arbitror autem eum, qui ſemel per has, quæ a nobis traduntur vias, introductus ſit, facili etiam negotio veterum ſcripta intellecturum. Porro autem Diſciplinam hanc omnium eſſe vtiliſſimam vel ex eo quis deprehendat, quod Plato lib. De legibus dicat: Cretenſium Legiſlatorem ſcripſiſſe Leges hominibus, tanquam ſemper ad bellum præparatis. Eſſe namque omnibus, ac ſingulis ciuitatibus naturâ bellum inter ſe mutuo occultum. Quomodo itaque Diſciplinam aliam æſtimabit aliquis potiorem?

τοῖς ἀνθρώποις συντεταγώτας. ὅπερ οὖν αὐτοὶ πρῶτοι ἐφιέμενοι τῆς γνώσεως τοῦ πράγματος ἐπάθομεν, μήτε τοὺς ὑφηγησομένους εὑρίσκοντες, μήτε ἀποχρώντως πρὸς παράδοσιν ἀποβάλλοντες τὰς τῶν πρὸ ἡμᾶς ἐκδόσεις ἔχειν, πειρασόμεθα καθ' ὅσον οἷόν τέ ἐστι, μὴ ἄλλοις τὸ αὐτὸ παθεῖν ποιῆσαι. ὁσάκις δ' ἂν μοι ὁ λόγος ἐξαινήσῃ ἐν τοῖς πῶς παραστῆσαι, τῇ τῶν θεωρημάτων, ἐπίκουρον παραλήψομαι ἐπὶ καταγραφῆς τὴν τῶν σχημάτων διατύπωσιν, τὴν ὄψιν τῇ νοήσει συλλήπτορα παραλαβών. αὐταῖς μέντοι πειράσομαι ταῖς τῶν ἀρχαίων χρῆσθαι ἑκάστου λέξεσιν, ἵνα καὶ τοῖς ὀνόμασιν, καὶ τῇ συνηθείᾳ τῶν πολλάκις παρ' αὐτοῖς λεγομένων ὀνόμασι συγγυμνασθέντες οἱ τῇ δὲ τῇ γραφῇ καθάπερ εἰσαγωγῇ προσέχοντες ἐν ἔθει γένωνται τοῖς εἰρημένοις ὀνόμασι παρὰ τοῖς τακτικὰ συντάξασι, καὶ μὴ ξενίζωνται, ὅταν τοῖς ἐκείνων ἐντυγχάνωσιν. οἴμαι δὲ τοὺς ἅπαξ εἰσαχθέντας τῶν ὑφ' ἡμῶν παραδιδομέναις ὁδοῖς εὐμαρῶς καὶ τὰ τῶν πρεσβυτέρων κατανοῆσαι. Ὅτι μέν τοι τὸ μάθημα τοῦτο πάντων ἐστὶ χρειωδέστατον, λάβοι τις ἂν ἐξ ὧν ὁ Πλάτων ἐν τοῖς νόμοις φησί. τὸν γὰρ Κρήτων νομοθέτην τοὺς νόμους τεθεῖσθαι ὥσπερ εἰς πόλεμον αἰεὶ τῶν ἀνθρώπων παρεσκευασμένων. εἶναι γὰρ φύσει πάσαις ταῖς πόλεσι πρὸς ἁπάσας πόλεμον ἀκήρυκτον. πῶς

οὖν ἄλλο τις ἡγήσεται προυργιαίτερον μάθημα, ἢ τὸ βιβλίον χρειωδέστερον τούτου;

ΚΕΦ. β'.

Τῶν εἰς τοὺς πολέμους τελείων παρασκευῶν διαίρεσις.

ΛΕκτέον δέ μοι πρῶτον περὶ τῶν εἰς τοὺς πολέμους τελείων παρασκευῶν. διτταὶ δ' εἰσὶ τούτων δυνάμεις. ἡ μὲν πεζική· ἡ δ', ναυτική. καὶ πεζικὴ μέν, ἡ τῶν ἐπὶ γῆς μαχομένων. ναυτικὴ δ', ἡ τῶν κατὰ θάλασσαν, ποταμοὺς ἐν ναυσὶ παραταττομένων. καὶ περὶ μὲν τῶν ἐν ναυμαχίαις συντάξεων ὕστερον ἐροῦμεν. τὰ δὲ πρὸς τὴν πεζικὴν στρατείαν συντείνοντα νῦν ἀφηγησόμεθα. τὸ ἐπὶ τοὺς πολεμίους τοίνυν ἀθροιζόμενον τὸ πλῆθος, τὸ μέν ἐστι μάχιμον. τὸ δὲ κατὰ τὰς τούτου χρείας συνερχόμενον, ἄμαχον. καὶ μάχιμον μὲν. τὸ παραταττόμενον ἐν τοῖς ἀγῶσι, καὶ δι' ὅπλων ἀμυνόμενον τοὺς πολεμίους. ἄμαχον δὲ, τὸ λοιπόν· οἷον, ἰατρῶν, ἀγοραίων, ὀτύλων, καὶ ἄλλων. ὅσοι διὰ τὰς ὑπηρεσίας ἐπακολουθοῦσι. τοῦ δὲ μαχίμου, τὸ μὲν ἐστὶ πεζικόν, τὸ δὲ ἐπ' ὀχημάτων. τὸ μὲν ἰδίως πεζόν, τὸ ἐπὶ γῆς βεβηκός. τοῦ δὲ ἐπὶ τῶν ὀχημάτων, τὸ μὲν ἐφ' ἵππων φέρεται, τὸ δὲ ἐπ' ἐλεφάντων· τοῦ δὲ ἐφ' ἵππων, τὸ μὲν ἐφ' ἁρμάτων, τὸ δὲ ἐπ' αὐτῶν ἵδρυται τῶν ἵππων. τῶν μὲν γένει τοσαῦται γίνονται διαφοραί. τοῖς δὲ εἴδεσιν, ἥτε πεζικὴ διακόσμη-

aut quem librum hoc vtiliorem, vel magis neceſſarium?

CAP. II.

Apparatuum belli integrorum diuiſio.

CÆterum primò dicendum mihi de integris belli apparatubus. Horum duplices ſunt copię: alię Terreſtres, Nauales aliæ. ac Terreſtres quidem eorum, qui terrâ præliantur: Nauales eorum, qui in mari, aut fluminibus claſſe concurrunt. Sed vt in Naualibus conflictubus inſtruatur Claſsis, aliàs dicemus, nunc relaturi, quæ ad pedeſtrem exercitum pertinent. Eorum igitur, qui ad bella colliguntur, pars ad pugnandum comparata eſt, pars non, eorum ſcilicet, qui ad vſus iſtorum conueniunt, Illa eſt, quæ ad prælium inſtruitur, hoſteſque armis a ſe repellit: Hęc multitudo cætera, vt, Medicorum, Mercantium, Famulorum, aliorumque quotquot exercitum miniſterij cauſâ ſequuntur. Eorum, qui pugnandi cauſâ veniunt, alij pedites ſunt, alij vehuntur. Qui propriè Pedites ſunt, ij terram pedibus premunt. Qui vehuntur, alij ab equis, alij ab elephantis feruntur. Qui ab equis feruntur, eorum quidam currubus inſident, quidam ipſis equis. Atque hæ Generales ſunt horum differentiæ. Particulatim cum peditatus, tum

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

equitatus inſtructio multifaria eſt. Quæ vero in elephantis, ac currubus vſu venit, vtraque vniformis. Conſtructio igitur pedeſtris trifariam diuiditur. Eius enim quidam Hoplitæ, quidam Peltaſtæ, quidam ſunt Leues. Hoplitæ vtuntur armaturâ inter cunctos grauiſsimâ, more Macedonico, clypeis nimirum rotundis, ac haſtis prælongis. Leues contra omnium leuiſſimo vtuntur apparatu, vt qui neque loricas, neque tibialia, neque ſcuta, aut clypeos grauiores habent: ſed iaculis vtuntur, quæ vel eminus arcu emittunt, vel manu; aut lapides e funda euibrant, manuve eijciunt. Ad hoc genus etiam Argili armatura refertur. Peltaſtæ qui dicuntur, ipſi quoque Armaturam habent Macedonico apparatui ſimilem, arma tamen, quam illi leuiora, (his enim Pelta, Scutum leue eſt, atque exiguum) ac haſtas ad Sariſſarum longitudinem breuiores. Videtur autem horum armatura medium obtinere ordinem inter Leues, & eos, qui proprie Hoplitæ dicuntur, cum grauior ſit, quam eſt Leuium, Leuior vero, quam eſt Hoplitarum. Quamobrem plerique & hos cum velitibus collocant. Equeſtrium copiarum, quæ in Turmas inſtruuntur, quaſque a cornubus diſcriminauimus, pars Cataphracta eſt, pars non Cataphracta. Quæ Cataphracta dicitur, ea tum viros, tum equos loricis vndique circumtegit. Quę vero Cataphracta non eſt, eius equites quidam ſunt Doratophori, ſeu Haſtati, quidam Acro-

σις πολυμερής ἐστι, καὶ ἡ ἱππική. ἡ γὰρ τῶν ἐλεφάντων μονοειδής ἐστι, καὶ ἡ τῶν ἁρμάτων. ἡ μὲν οὖν πεζικὴ σύνταξις τριχῆ διῄρηται. ἡ μὲν γάρ ἐστιν ὁπλιτῶν, ἡ δὲ πελταστῶν, τρίτη δὲ ψιλῶν. καὶ ἡ μὲν τῶν ὁπλιτῶν, βαρυτάτῃ παρὰ πάντας τοὺς πεζοὺς κέχρηται καθοπλίσει κατὰ τὸν Μακεδονικὸν τρόπον, ἀσπίσι περιφερέσι καὶ δόρασι περιμηκεστέροις. τὸ δὲ τῶν ψιλῶν πάντων κουφοτάτῃ κέχρηται παρασκευῇ, μήτε θώρακας ἔχον, μήτε περικνημίδας, μήτε θυρεοὺς ἢ ἀσπίδας βαρείας, ἀλλὰ τοῖς ἑκηβόλοις χρώμενον τοξεύμασιν, ἀκοντίοις, ἢ λίθοις ἐκ σφενδόνης, ἢ ἐκ χειρός. εἰς τοῦτο δὲ τὸ γένος καὶ τὸ τοῦ Ἀργίλου ὅπλον καταττάτεται. καὶ αὐτὸ μὲν ἔχει τὸν ὁπλισμὸν ἐμφερῆ τῇ Μακεδονικῇ παρασκευῇ, κουφότερον δὲ ἐκείνης τὸν καθοπλισμόν. τούτοις γὰρ πέλτης μικρόν ἐστι, καὶ ἐλαφρὸν ὅπλον. καὶ τὰ δόρατα πολὺ τῶν σαρισσῶν μεγέθη λειπόμενα. δοκεῖ δὲ τούτων ἡ ὅπλισις μέσην ἔχειν τάξιν τῶν ψιλῶν, καὶ τῶν ἰδίως λεγομένων ὁπλιτῶν. βαρυτέρα μὲν οὖσα τῶν ψιλῶν, κουφοτέρα δὲ τῶν ὁπλιτῶν. διὸ καὶ οἱ πλεῖστοι τούτους μετὰ τῶν ψιλῶν συντάττουσι. τῆς δὲ ἱππικῆς δυνάμεως, ἣν ἐχωρίσαμεν ἀπὸ τῶν ἁρμάτων, ἐν ταῖς ἴλαις κατατασσομένης, ἡ μέν ἐστι κατάφρακτος; ἡ δέ, οὐ κατάφρακτος. κατάφρακτος μὲν, ἣ τοὺς ἵππους καὶ τοὺς ἄνδρας θώραξι πάντοθεν σκέπουσα. τῶν δὲ μὴ καταφράκτων, οἱ μέν, εἰσὶ δορατοφόροι, οἱ δὲ ἀκροβολισταί. δορατοφόροι μὲν

οὖν

οὖν εἰσιν, οἱ ἀπὸ τῶν ἵππων τοῖς πολεμίοις συμπλεκόμενοι, καὶ πλησίον δόρασι μαχόμενοι. τούτων δὲ, οἱ μὲν θυρεοὺς ἔχουσι, καὶ καλοῦνται θυρεαφόροι, οἱ δὲ χωρὶς θυρεῶν αὐτῶν μόνον δόρασι μάχονται, οἱ καὶ ἰδίως δορατοφόροι καλοῦνται, ὑπὸ ἐνίων δὲ ξυστοφόροι. ἀκροβολισταὶ δὲ τῶν ἱππέων λέγονται οἱ πόρρωθεν βάλλοντες. τούτων δὲ, οἱ μὲν δορατίοις χρῶνται, οἱ δὲ τόξοις. καὶ δορατίοις μὲν, οἱ καλούμενοι ταραντῖνοι. τῶν δὲ ταραντίνων δύο εἰσὶ διαφοραί· οἱ μὲν γὰρ δορατίοις πόρρωθεν βάλλοντες ἱππακοντισταὶ καλοῦνται, ἰδίως δὲ ταραντῖνοι λεγόμενοι. τινὲς δὲ τῶν ταραντίνων ἐλαφροῖς δορατίοις χρῶνται, ἅπαξ τε, ἢ δὶς προεξακοντίσαντες τὸ λοιπὸν συμπλέκονται τοῖς πολεμίοις ἐγγύθεν ἀπομαχόμενοι παραπλησίως τοῖς εἰρημένοις δορατοφόροις. οὗτοι δὲ καλοῦνται ἐλαφροί. ὥστε τῶν ταραντίνων, τοὺς μὲν ἰδίως καλεῖσθαι ταραντίνους, πόρρωθεν ἀκοντίζοντας, τοὺς δὲ ἐλαφροὺς λέγεσθαι, τοὺς πλησίον μαχομένους. οἱ δὲ τῶν ἱππέων τόξοις χρώμενοι, ἱπποτοξόται λέγονται, ὑπὸ ἐνίων δὲ Σκύθαι. Τοσαῦται μὲν οὖν εἰσὶ τῶν ἐν τοῖς στρατοπέδοις διαφοραὶ τοῦ μαχίμου ὄχλους, τὸν ἀριθμὸν ἐννέα. ὁπλιτῶν, πελταστῶν, ψιλῶν ἱππέων, δορατοφόρων ἱππέων, ἀκοντιστῶν ἱππέων, τοξοτῶν ἱππέων, καταφράκτων, ἁρμάτων, ἐλεφάντων.

boliſtæ. Doratophori ſunt iſti, qui ex equis cum hoſtibus manus conſerunt ac comminus haſtis pugnant. Horum autem alij Scuta habent, vocanturq; Scutati, alij haſtis ſolis ſine Scutis pugnant, qui etiam propriè Doratophori vocãtur, atq; a nonnullis Xeſtophori. Equites Acroboliſtæ dicuntur, qui eminus hoſtem petunt, atque horum alij miſſilibus vtuntur, alij arcubus. Miſſilibus vtuntur illi, qui propriè vocantur Tarentini. at Tarentinorum duplex eſt differentia. nam qui ex illis eminus ſpicula iaculantur, Hippacontiſtæ dicuntur, ac propriè Tarentini: quidam vero Tarentinorum leuibus miſſilibus vtuntur, ac primò ſemel iterumque eiaculati, confeſtim exinde cum hoſtibus congredientes cominus prælium ineunt. propemodum atque illi, quos Doratophoros ante diximus. atque hi vocantur Leues ita vt inter Tarentinos propriè Tarentini dicantur ij, qui eminus in hoſtem eiaculantur. Leues autem appellentur, qui cominus pugnant. Quos ante equites Arcubus vti diximus, ij nominantur Hippotoxotæ, & a quibusdam etiam Scythæ. Tot igitur ſunt differentiæ eorum, qui in exercitibus arma ad pugnandum geſtant, numero ſcilicet nouem, Hoplitarum, Peltaſtarum, Leuium, Equitũ Doratophororum, Equitum Sagittariorum, Equitum arcubus vtentium, Equitum Cataphractorum, Curruum, Elephantorum.

Cap. III.

De ſingularum Phalangum Conſtitutionibus, Præfecturis, Ordinibus, Numero conuenienti, Nominibus. & Tactica Definitione.

SEd cum vnaquæque prędictarum Phalangum, Conſtitutiones, Præfecturas, Ordines, Numerum conuenientem, ac Nomina complectatur, propter ea, quæ præcipiuntur cum in exercitatione quotidianâ, ac mutuâ, tum reapſe in ipſis prælijs, de ſingulis iſtis ſeorſim verba facere neceſſe eſt. Eius ergo eſt, qui Inſtruendę Aciei præeſt, ex aſſumptâ virorum inordinatâ multitudine idoneos eligere, eoſque quo decet quemque loco conſtituere. hoc eſt: in Decurias diſtribuere, eaſque coniungere, totiuſque Multitudinis numerum definire mediocrem, ac bello accommodum. Etenim inſtructum eſſe exercitum tum in itineribus, tum in Caſtris, inque ipſis adeo conflictibus vtiliſſimum eſt. Comperimus enim magnas copias ordinis expertes cæſas ſæpenumerò, ac conciſas a paucis, qui ordinem ſeruare ſimul didicerant. Porro Tacticam hanc definiere, Æneas quidem, *Quod ſit ſcientia bellicorum motuum*; Polybius vero ita: ſi quis ordinandam multitudinem aſſumems, eam cum iudicio indecurias diſponat, eaſque ſimul iuxta ſe mutuo collocet, ac militem iſtum edoceat ea, quæ ad vſum belli conducibilia ſunt.

ΚΕΦ. γ'.

Περὶ τῶν καθ' ἑκάστην φάλαγγα συστημάτων, ἡγεμονιῶν, τάξεων, ἀριθμοῦ ἐπιτηδείου, ὀνομάτων, καὶ τοῦ τῆς τακτικῆς ὁρισμοῦ.

Ἑκάστης δὲ τῆς εἰρημένης φάλαγγος συστήματα, καὶ ἡγεμονίας, καὶ τάξεις, καὶ ἀριθμὸν ἐπιτήδειον περιεχούσης, καὶ ὀνόματα, χάριν τῶν παραγγελλομένων εἴς τε τὴν καθημερινὴν γυμνασίαν, καὶ συνάσκησιν, καὶ ἐπὶ τῆς ἀληθείας ἐν αὐτοῖς τοῖς ἀγῶσιν, ἀναγκαῖον περὶ ἑκάστης εἰπεῖν. τὸ μὲν οὖν ἐν τῇ τακτικῇ πρωτοστατοῦντός ἐστι, παραλαβόντα πλῆθος ἀνδρῶν ἄτακτον, τοὺς ἐπιτηδείους ἐκλεξάμενον, καθ' ἣν ἕκαστον προσήκει χώραν συντάξαι, τουτέστι, καταλοχίσαι, καὶ συλλοχίσαι, ἀριθμόν τε τοῦ παντὸς πλήθους ὁρίσαι σύμμετρον, καὶ εὐχρήστως ἔχοντα πρὸς τὸν κατὰ τὸν πόλεμον. τὸ γὰρ συντετάχθαι τὸ στράτευμα ἔν τε πορείαις, καὶ στρατοπεδείαις, ἐν αὐταῖς τε ταῖς παρατάξεσιν, ὠφελιμώτατόν ἐστι. εὑρίσκομεν γὰρ πολλάκις μεγάλας δυνάμεις συντετριμμένας διὰ τὴν ἀταξίαν ὑπ' ὀλίγων συντεταγμένων. Ὅρον δὲ αὐτῆς ἔθεντο, Αἰνείας μὲν, ἐπιστήμην εἶναι πολεμικῶν κινήσεων. Πολύβιος δὲ, ἄν τις πλῆθος τακτικὸν παραλαβὼν τοῦτο συγκρίνῃ, καὶ καταλογίσας συλλοχίσῃ, παιδεύσῃ τε χρησίμως τὰ πρὸς τὸν πόλεμον.

ΚΕΦ. δʹ.

Λόχος τί· καὶ ἐκ πόσων συνέστηκεν ἀνδρῶν.

Τὸ μὲν οὖν καταλογίσαι ἐστὶ, τὸ ποιῆσαι λόχους. ὁ δὲ λόχος ἐστὶν, ἀριθμὸς ἀνδρῶν ἀπό τινος ἡγουμένου, καὶ τῶν μετ' αὐτοὺς ὄπισθεν ἑπομένων μέχρι τοῦ τελευταίου. τὸν δὲ ἀριθμὸν τοῦ λόχου, οἱ μὲν ὀκτὼ ἀνδρῶν ἐποίησαν, οἱ δέ, δώδεκα, οἱ δέ, δεκαέξ. ἔστω δὲ νῦν ἑκκαίδεκα ἀνδρῶν ὁ λόχος. Συμμέτρως γὰρ ἔχει πρός τε τὸ μῆκος τῆς φάλαγγος καὶ ἐάν τε διά τινας χρείας διπλασιάζηται τὸ βάθος, ὥστε ἐπὶ τριάκοντα δύο ἄνδρας γίνεσθαι, ἢ συναιρῆται, καὶ ἐπ' ὀκτὼ ἄνδρας βαθύνηται, οὐδὲν ἐμπόδιον γενήσεται τοῖς ὄπισθεν τασσομένοις ψιλοῖς. εἴτε γὰρ ἀκοντίζουσιν, ἢ σφεδόναις χρῶνται, ἢ τοξεύμασιν, εὐκόλως ὑπερωθήσουσι ταῖς βολαῖς τὸ τῆς φάλαγγος βάθος.

CAP. IV.

Decuria quid ſit, & e quot conſtet viris.

ESt igitur Decuriare, Decurias facere. Decuria autē eſt, numerus virorum ab aliquo præcedente, & ijs, qui illum ſubſequuntur. ad poſtremum vſque. Numerum Decuriæ alij fecere virorum octo, alij duodecim, alij ſedecim. Sed eſto nunc XVI virorum Decuria. iuſtam enim habet numerus iſte mediocritatem, & ad Phalangis longitudinem, & ſiue ob vſus aliquos duplicetur Altitudo, vt ea fiat virorum triginta duûm, ſiue contrahatur, ac in octo viros redigatur, nullum impedimentum dabitur pone collocatis Velitibus. Seu namque illi iaculentur, ſeu fundis, aut arcubus vtantur, facili labore iactus eorum Phalangis altitudinem ſuperabunt.

ΚΕΦ. εʹ.

Περὶ τῆς τοῦ λόχου διατάξεως.

Ὁ μὲν οὖν ἄριστος ἑκάστου λόχου, πρῶτος καὶ ἡγούμενός ἐστι, ὃς καὶ λοχαγὸς ἐπονομάζεται, καὶ ἡγεμὼν, καὶ πρωτοστάτης. ὁ δὲ τελευταῖος τοῦ λόχου, οὐραγὸς καλεῖται. ὁ λόχος δὲ ὅλος, καλεῖται στίχος. ὀνομάζεται δὲ καὶ δεκανία. ὑπὸ δέ τινων, ἐνωματία. τινὲς δὲ τὴν ἐνωμωτίαν, τέταρτον τοῦ λόχου μέ-

CAP. V.

De Decuriæ diſpoſitione.

OPtimus igitur cuiuſque decuriæ eſt primus, & qui præcedit. qui etiam Lochagus, ſeu Decurio & Dux, & Protoſtata cognominatur. Poſtremus autem Decuriæ, Vragus ſeu Tergidux appellatur. Tota vero Decuria, Verſus dicitur. qui quoque Decuria, atque a nonnullis Enomotia vocatur, Quidam tamen Enomotiam, quartam Decuriæ partem dixere, atque Du-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

cem Enomotiæ, Enomotarcham. Duas autem Enomotias, Dimœriam vocarunt, eiusque Ductorem, Dimœritam. Ita vt ſemidecuria, etiam Dimœria vocetur, ac Semi-decurio, Dimœrita. eſt autem is Decuriæ Epiſtata. Et qui poſt Lochagum conſtitutus eſt, vocatur Epiſtata. qui vero pone hunc, ſimiliter Protoſtata. quique hunc adhuc pone ſequitur, Epiſtata. Ita vt totus verſus e Protoſtatis, & Epiſtatis alternatim collocatis conſtitutus ſit. Neceſſe autem eſt, Lochagum virtute cæteros præcellere. ab hoc dein eos, qui Hemilochias ducunt, vt ſunt Tergiductores. Decuriam vero definiunt, quod ſit, verſus ex Epiſtatis ſub Lochago pro cuiusque virtute conſtitutus.

ρος ἀπεφήναντο, καὶ τὸν ἡγούμενον τῆς ἐνωμωτίας, ἐνωματάρχην. τὰς δὲ δύο ἐνωμωτίας, διμοιρίας ἐκάλεσαν, καὶ τὸν ἡγούμενον αὐτῆς, διμοιρίτην. ὥστε τὸ ἡμιλόχιον, καὶ διμοιρίαν καλεῖσθαι, καὶ τὸν ἡμιλοχίτην, διμοιρίτην. οὗτος δέ ἐστιν, ὁ τοῦ λόχου ἐπιστάτης. καὶ ὁ μὲν τοῦ λοχαγοῦ ὀπίσω τεταγμένος, καλεῖται ἐπιστάτης. ὁ δὲ τούτου κατόπιν, ὁμοίως πρωτοστάτης ὁ δ' ἐπὶ τούτου κατόπιν, ἐπιστάτης. ὥστε ὅλον τὸν στίχον ἐκ πρωτοστατῶν, καὶ ἐπιστατῶν συντετάχθαι παραλλὰξ τεταγμένων. δεῖ δὲ τὸν λοχαγὸν διαφέρειν τῶν ἄλλων. μετὰ δὲ τούτους ἤδη, τοὺς τῶν ἡμιλοχίων, ὥσπερ οὐραγούς. ὁρίζονται δὲ τὸν λόχον οὕτω· στίχον ἐξ ἐπιστατῶν κατ' ἀρετὴν ὑπὸ λοχαγῷ τεταγμένων.

Cap. VI.

De Syllochiſmo, ſeu Decuriarum coniunctione.

SYllochiſmus eſt, cum primæ Decuriæ ſecunda adiungitur: nimirum primi verſus Lochago, ſecundi verſus Lochagus: ac primum Lochagum ſequenti Epiſtatæ, ſecundæ Decuriæ Epiſtata. ac ſic deinceps. Paraſtata autem vocatur, quisquis iugat. vt, cum primæ Decuriæ Lochago ſecundę Decuriæ Lochagus a latere adſtat: ac ſimiliter primæ decuriæ Epiſtatæ etiam ſecundæ decuriæ Epiſtata. atq; ita deinceps. Quum igitur iuxta ſecundam decuriam tertia aut quarta, ac ſic porro reliquæ iunguntur, id Syllochiſmus vocatur.

ΚΕΦ. ϛ΄.

Περὶ συλλοχισμοῦ.

ΣΥλλοχισμὸς δέ ἐστιν, ὅταν τῷ πρώτῳ λόχῳ ἕτερος παρατεθῇ. τῷ μὲν τοῦ πρώτου στίχου λοχαγῷ, ὁ λοχαγὸς τοῦ δευτέρου στίχου· τῷ δὲ ὄπισθεν ἐπιστάτῃ τοῦ πρώτου λοχαγοῦ ὁ τοῦ δευτέρου λόχου ἐπιστάτης, καὶ κατὰ τὸ ἑξῆς. παραστάτης δὲ καλεῖται πᾶς ὁ ζυγῶν, οἷον τῷ τοῦ πρώτου λόχου λοχαγῷ, ὁ τοῦ δευτέρου λόχου λοχαγός. καὶ ὁμοίως τῷ τοῦ πρώτου λόχου ἐπιστάτῃ, καὶ τοῦ δευτέρου λόχου ἐπιστάτης, καὶ κατὰ τὸ ἑξῆς. ὅταν οὖν κατὰ τὸν δεύτερον λόχον τρίτος ταγῇ, ἢ τέταρτος, καὶ οὕτως κατὰ τὸ ἑξῆς οἱ λοιποὶ, τὸ τοιοῦτο συλλοχισμὸς καλεῖται.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ΚΕΦ. ζ'. Περὶ φάλαγγος, καὶ τοῦ κατ' αὐτὴν μήκους τε καὶ βάθους. ζυγεῖν, καὶ στοιχεῖν τί. πῶς διαιρεῖται ἡ φάλαγξ εἰς κέρατα δι' ὅλου τοῦ βάθους, καὶ ἄλλως διὰ τοῦ μήκους. περὶ τῆς τῶν ὁπλιτῶν, καὶ ψιλῶν, καὶ ἱππέων τάξεως.

Τὸ δὲ ὅλον σύστημα τοῦ πλήθους τῶν λόχων, φάλαγξ καλεῖται. ἧς μῆκος μὲν, τὸ πρῶτον τῶν λοχαγῶν τάγμα· τοῦτο δὲ μέτωπον, καὶ πρόσωπον, καὶ παράταξις, καὶ ζυγὸν, καὶ στόμα, καὶ ἡγεμόνες, καὶ πρωτοστάται, καὶ πρωτολοχία καλεῖται. τὸ δὲ κατόπιν τοῦ μετώπου πᾶν μέρος τῆς φάλαγγος μέχρι τῶν οὐραγῶν, βάθος καλεῖται. λέγεται δὲ τὸ μὲν κατὰ μῆκος ἐπ' εὐθείας εἶναι τοῖς πρωτοστάταις, ἢ τοῖς ἐπιστάταις, ζυγεῖν. τὸ δὲ κατὰ βάθος ἐπ' εὐθείας εἶναι τοῖς οὐραγοῖς καὶ λοχαγοῖς, στοιχεῖν. Διαιρεῖται δὲ ἡ φάλαγξ οὕτως, εἰς μὲν ὁλοσχερῆ μέρη, δύο ἀπὸ τοῦ μετώπου διχοτομίας δι' ὅλου τοῦ βάθους. ὧν τὸ μὲν ἥμισυ, δεξιὸν καλεῖται κέρας καὶ κεφαλὴ, τὸ δὲ λοιπὸν, εὐώνυμον λέγεται κέρας, καὶ οὐρά. αὕτη δὲ ἡ διχοτομία τοῦ μήκους, ὀμφαλὸς προσαγορεύεται, καὶ στόμα καὶ ἄραρος. μετὰ δὲ τὴν τῶν ὁπλιτῶν φάλαγγα κατόπιν τάσσεται τὸ τῶν ψιλῶν τάγμα. τούτου δ' ἔτι κατόπιν τὸ τῶν ἱππέων. ὅταν μέντοι αἱ χρεῖαι ἀπαιτῶσιν ἐν ἑτέροις τόποις τάσσονται οἵ τε ψιλοὶ, καὶ οἱ ἱππεῖς, ὡς προελθόντες ἐροῦμεν. πόσον δὲ δεῖ τὸν ἀριθμὸν τῶν τε ὁπλιτῶν εἶναι, καὶ πόσον τῶν ἱππέων, δηλώσομεν. καὶ πῶς ἕκαστον δεῖ τετάχθαι. καὶ πρὸς ταῖς ἐπειγούσαις

Cap. VII. *De Phalange, eiuſq; Longitudine, & Altitudine. Iugare quid, & Verſare. Quomodo diuidatur Phalanx in cornua per Altitudinem, & aliter per Longitudinem. De ordinatione Peditum grauis armaturæ, Velitum, atque Equitum.*

Tota autem coagmentatio ex pluribus decurijs, Phalanx dicitur. Cuius longitudo primus Lochagorum ordo eſt. Hæc vero & Frons & Facies & Acies, & Iugum, & Os, & Duces, & Protoſtatæ, & Protolochia vocatur. Cætera autem poſt Frontem pars Phalangis tota vſque ad Tergiductores, Altitudo appellatur. Stare directè in longitudine Protoſtatas, aut Epiſtatas, id Iugare dicitur: Stare directè in Altitudine Tergiductores, & Lochagos, Verſare. Diuiditur porro Phalanx in duas partes ſummas facta biſſecatione a Fronte per totam altitudinem quarum dimidia pars altera, Cornu dextrum, & Caput vocatur, reliqua, Cornu ſiniſtrũ, & Cauda. Hæc autem Longitudinis biſſecatio, Vmbilicus, Os, & Firmitudo nuncupatur. Poſt Hoplitarum Phalangem pone Leuium acies conſtituitur, atque huic inde Equitum acies ſubſtituitur. quamquam etiam alijs in locis ſtatuantur & Velites, & Equites poſcente vſu, ſicut in progreſſu dicturi ſumus. Quantus vero debeat eſſe Hoplitarum numerus, & quantus Equitum, exponemus. vtque ſingulos ordinari oporteat. Tum explicabimus

etiam, quomodo ingruente neceſſitate ordines magnâ cum celeritate ſint transformandi. quibus vltra adiungemus Doctrinam, quæ in ſingulorum ordinum motionibus erit obſeruanda.

χρείας πῶς δεῖ μετὰ πολλοῦ τάχους τὰς τάξεις μετασχηματίζειν, δηλωθήσεται. καί τις ἡ διδαχὴ τῆς περὶ ἕκαστον τάγμα κινήσεως γενήσεται, παραστήσομεν.

Cap. VII.

De numero Peditum grauis armaturæ, Velitum, atque Equitum ad agminum transformationes conuenienti.

ΚΕΦ. η.

Περὶ τοῦ τῶν τε ὁπλιτῶν, καὶ ψιλῶν, καὶ ἱππέων ἀριθμοῦ, τοῦ πρὸς τοὺς μετασχηματισμοὺς τῶν ταγμάτων ἐπιτηδείου.

EQuidem numerum Exercitus definire, nec facile, nec certum eſt. nam qualis cuiuſque Tacticorum apparatus eſt, talem multitudinis numerum præſcribi oportet. Sciendum interim, tales eligendos eſſe numeros, qui ad ordinum transformationes ſint idonei, hoc eſt, ſiue Phalangis longitudinem duplicare, ſiue multiplicare velimus, aut eandem contrahere. hanc ob cauſam tales numeros excogitauere, qui ad vnitatem vſque æqualiter poſſent diuidi. Vnde pleriq; eorum, qui Tactica conſcripſere, Hoplitarum Phalangem ſedecim mille trecentorum octoginta quatuor fecere. huius autem ſubduplam Leuium; tum ſubduplam adhuc huius Equitum. nam XVI.M.CCC.LXXXIV. numerus in duo ad vnitatem vſq; bis ſecatus diuiditur. quare formæ atque exempli cauſa numerus talis decernitur. quoniam igitur Decuriam, XVI virorum propoſuimus, Decuriæ eſſe debebunt, M.XXIV.

ΟΡίζειν μὲν οὖν τὸν ἀριθμὸν τοῦ στρατεύματος ἀπίθανον. πρὸς γὰρ ἣν ἕκαστος ἔχει παρασκευὴν τῶν τακτικῶν, δεῖ ὑπογραμμὸν τιθέναι τοῦ πλήθους. ἤδη μέντοι δεῖ γινώσκειν, ὅτι τοιούτους ἀριθμοὺς ἐκλέγεσθαι δεῖ, οἵτινες ἐπιτηδείως ἕξουσι πρὸς τοὺς μετασχηματισμοὺς τῶν ταγμάτων. τουτέστι, ἐὰν τὸ μῆκος τῆς φάλαγγος διπλασιάσαι βουληθῶμεν, ἢ πολυπλασιάσαι, ἤτε μῆκος συνελεῖν. διὰ δὲ ταύτην τὴν αἰτίαν ἀριθμοὺς ἐπενόησαν μέχρι μονάδος εἰς ἥμισυ διαιρεῖσθαι δυναμένους. ὅθεν οἱ πλείους τῶν τακτικῶν συγγραψάντων, μυρίων ἑξακισχιλίων τριακοσίων ὀγδοηκοντατεσσάρων τὴν τῶν ὁπλιτῶν φάλαγγα ἐποίησαν. ταύτης δὲ ἡμίσειαν τὴν τῶν ψιλῶν. ἔτι δὲ ταύτης ἡμίσειαν τὴν τῶν ἱππέων. ὁ γὰρ τῶν ά ϛ π' δ' ἀριθμὸς μέχρι μονάδος δίχα διαιρεῖται. τύπου οὖν καὶ διαγραφῆς ἕνεκα ὁ τοιοῦτος ἀριθμὸς ἐγκείνεται. ὥστε ἐπεὶ τὸν λόχον δεκαὲξ ἀνδρῶν ὑπεθέμεθα, δεήσει χιλίους καὶ κδ' εἶναι λόχους.

ΚΕΦ. Θ'.

Ὀνόματα λόχων, ὧν τὰ τάγματα ἀεὶ διπλωθέντα προχωροῦσι (ἤγουν κατὰ λόχους δύο, τέτταρας, ὀκτὼ, ἑκκαίδεκα, καὶ οὕτως ἐφεξῆς) καὶ πόσοι καθ' ἕκαστα ταγμάτων ἄνδρες, καὶ λόχοι, καὶ ἡγεμόνων ὀνόματα.

Οὗτοι δὲ μεμερισμένοι εἰς τὰ τάγματα, ὧν ἑκάστῳ καὶ ὀνόματα κεῖται. οἱ μὲν γὰρ δύο λόχοι, διλοχία καλοῦνται ἀνδρῶν λβ'. καὶ ὁ τούτου τοῦ τάγματος ἡγούμενος, διλοχίτης λέγεται. οἱ δὲ τέσσαρες λόχοι, τετραρχία, καὶ ὁ τούτου τοῦ τάγματος ἡγούμενος, τετράρχης, ἀνδρῶν ἑξηκοντατεσσάρων ἔξαρχος. αἱ δὲ δύο τετραρχίαι, καλοῦνται τάξις, ἀνδρῶν ρκη', λόχων η', καὶ ὁ τούτων ἀφηγούμενος, καλεῖται ταξίαρχος. αἱ δὲ δύο τάξεις καλοῦνται, σύνταγμα, λόχων ις', ἀνδρῶν δὲ σνς', καὶ ὁ τούτων ἀφηγούμενος, συνταγματάρχης. ὑπ' ἐνίων δὲ τὸ σύνταγμα τῶν σνς' ἀνδρῶν, ξεναγία καλεῖται, καὶ ὁ τούτου τοῦ τάγματος ἀφηγούμενος, ξεναγός. καθ' ἕκαστον τῶν σνς'. ἀνδρῶν σύνταγμα ἔκταρχοι ἄνδρες ὑπάρχουσι πέντε· σημαιοφόρος, οὐραγὸς, σαλπιγτὴς, ὑπηρέτης, στρατοκῆρυξ. δοκεῖ δὲ τὸ σύνταγμα τετράγωνον σχῆμα ἔχειν, δεκαὲξ μήκους, ἐπὶ δεκαὲξ βάθος. τὰ δὲ δύο συντάγματά ἐστιν ἀνδρῶν φιβ', λόχων λβ', καὶ ὁ τούτων ἀφηγούμενος, πεντακοσιάρχης, αἱ δὲ δύο πεντακοσιαρχίαι καλοῦνται χιλιαρχία, ἀνδρῶν χιλίων

CAP. IX.

Nomina Decuriarum quæ duplicatæ procedunt ſemper, vel per binas, vel per quaternas, vel octo vel ſedecim: atque ita deinceps. Quot in ſingulis agminibus ſint viri, quot Decuriæ, & quæ Ducum nomina.

HÆ autem in ſuos ordines diſpertitæ ſunt, quorum ſingulis ſua etiam nomina poſita. Etenim duæ Decuriæ, Dilochia vocantur, virorum XXXII, quique huic ordini præeſt, Dilochita dicitur. Quatuor decuriæ, Tetrarchia dicuntur, quique hunc ordinem ducit, Tetrarcha, virorum LXIV. præfectus. Duæ Tetrarchiæ vocantur, Taxis, virorum CXXVIII, decuriarum VIII, horumq ductor Taxiarcha dicitur. Duæ Taxeis vocantur, Syntagma, Decuriarum XVI, viror. CCLVI, horumq; Dux, Syntagmatarcha. A quibusdam vero Syntagma, virorum CCVI. Xenagia, huiusque ordinis ductor, Xenagus nominatur. In virorum CCLVI ordinibus ſingulis viri extraordinarij ſunt quinque: Signifer, Tergidux, Tubicen, Miniſter, Præco. Euidenter autem Syntagma quadratam habet figuram, cum ſint XVI viri in longitudine iuxta atque in altitudine. Duo Syntagmata virorum ſunt D.XII, Decuriarum XXII, & qui hos ducit, Pentacoſiarcha dicitur. Duæ Pentacoſiarchiæ vocantur, Chiliarchia, virorum. M.XXIV, Decuriarum LXIV,

atque horum dux, Chiliarcha. Duæ Chiliarchiæ vocantut, Merarchia, virorum bis mille, XLVIII, Decuriarum CXXVIII, huiusque partis Dux dicitur, Merarcha. A quibusdam etiam hæc pars, Telos vocatur, & qui hanc ducit Teleiarcha. Duæ Teleiarchiæ vocantur, Phalangarchia, virorum, IV. MXVI, Decuriarum CCLVI, horumque ductor Phalangarcha. A nonnullis quoque hoc agmen, Strategia dicitur, ductorque, Strategus. Duæ Phalangarchiæ dicuntur Diphalangarchia, virorum VIII M.CXCII, Decuriarum.D.XII. a quibusdam etiam hoc agmen dicitur, Meros, nonnunquam etiam Cornu. Duæ Diphalangarchiæ, Tetraphalangarchia vocantur, Decuriarum M.XXIV, virorum XVI. M CCC LXXXIV. Ita vt in totâ phalange ſint Cornua duo, Phalangarchiæ IV, Merarchiæ VIII, Chiliarchiæ XVI, Pentacoſiarchiæ XXXII, Syntagmatarchiæ LXIV, Taxiarchiæ CXXVIII, Tetrarchię CCLVI, Dilochiæ D.XII, Decuriæ M.XXIV.

κδ΄, λόχων ξδ΄. αἱ δὲ δύο χιλιαρχίαι, μεραρχία καλεῖται, ἀνδρῶν β μ η΄, καὶ ὁ μέρους τούτου ἡγούμενος, καλεῖται μεράρχης. λόχων ρκη΄. τοῦτο δὲ τὸ μέρος ὑπ᾽ ἐνίων, τέλος καλεῖται, καὶ ὁ ἀφηγούμενος αὐτοῦ, τελειάρχης. αἱ δὲ δύο τελαρχίαι, φαλαγγαρχία καλεῖται, ἀνδρῶν δ ι ϛ΄, λόχων σνϛ΄, καὶ ὁ τούτου ἀφηγούμενος, φαλαγγάρχης. ὑπ᾽ ἐνίων δὲ καλεῖται τοῦτο τὸ τάγμα, στρατηγία, καὶ ὁ τούτου ἀφηγούμενος, στρατηγός. αἱ δὲ δύο φαλαγγαρχίαι, διφαλαγγαρχία, ἀνδρῶν σ μ ρ δ β΄, λόχων φιβ΄. ὑπ᾽ ἐνίων δὲ τὸ τάγμα τοῦτο καλεῖται, μέρος. ἐστὶ δὲ καὶ κέρας. αἱ δὲ δύο διφαλαγγαρχίαι, τετραφαλαγγαρχία, λόχων α κ δ΄, ἀνδρῶν α ς τ π δ΄. ὥστε γίνεσθαι ἐν ὅλῃ τῇ φάλαγγι κέρατα μὲν δύο, φαλαγγαρχίας δὲ δ΄, μεραρχίας η΄, χιλιάρχους ιϛ΄, πεντακοσιάρχους λβ΄, συνταγματάρχους, ξδ΄, ταξιάρχους δὲ ρκη΄, τετράρχας δὲ σνϛ΄, διλοχίτας δὲ φιβ΄, λόχους δὲ, ακδ΄.

ΚΕΦΑ-

ΚΕΦ. ι.

Περὶ τάξεως τῶν Φαλαγγαρχῶν, Μεραρχῶν, Τελεαρχῶν, καὶ τῶν ἄλλων ἡγημονιῶν κατὰ τὴν τῆς ἑκάστου ἀρετῆς διαφοράν.

Καὶ ὁ μὲν ἄριστος τῶν φαλαγγαρχῶν ἐπὶ τοῦ δεξιοῦ κέρατος τέτακται. ὁ δὲ δευτερεύων, ἐπὶ τοῦ εὐωνύμου. ὁ δὲ κατ' ἀρετὴν τρίτος μετὰ τῆς δευτέρας εἰς ἀριστερὸν, εἰς πρὸς τὴν μέσην ἀποτομήν. ὁ δὲ τέταρτος μετὰ τῆς τρίτης εἰς δεξιὸν, καὶ αὐτῆς ὡς πρὸς τὴν μέσην ἀποτομήν. ὥστε τὴν πρώτην καὶ τετάρτην φαλαγγαρχίαν ἡγουμένους ἔχειν κατ' ἀρετὴν πρώτην δύναμιν ἔχοντας καὶ τετάρτην. τὴν δὲ δευτέραν καὶ τρίτην φαλαγγαρχίαν ἡγουμένους ἔχειν κατ' ἀρετὴν τάξιν ἔχοντας δευτέραν καὶ τρίτην. δείξομεν δὲ, ὅτι ἡ πρώτη, καὶ τετάρτη δύναμις ἴση ἐστὶ τῇ δευτέρᾳ καὶ τρίτῃ, ὥστε τοὺς ἡγεμόνας ἰσοδυναμεῖν. οἱ δὲ μεράρχαι καὶ αὐτοὶ τάσσονται οὕτως, ὥστε τὸν μὲν πρωτεύοντα τάσσεσθαι τῆς πρώτης φαλαγγαρχίας ἐπὶ τοῦ εὐωνύμου, τὸν δὲ δευτερεύοντα, ἐπὶ τοῦ δεξιοῦ τῆς δευτέρας φαλαγγαρχίας, τὸν δὲ τρίτον ἐπὶ τοῦ εὐωνύμου τῆς τρίτης φάλαγγος. ὁ δὲ τέταρτος ἐπὶ τοῦ δεξιοῦ τῆς τετάρτης φάλαγγος τάσσεται. ὁμοίως δὲ καθ' ἑκάστην τετραρχίαν οἱ λοχαγοὶ οὕτως τάσσονται, ὥστε τὸν τοῦ πρώτου λόχου λοχαγὸν κατ' ἀρετὴν διαφέρειν. τὸν δὲ τοῦ τετάρτου λόχου λοχαγὸν δευτερεύειν τῇ δυνάμει. οὕτω γὰρ ἰσοδυναμοῦσιν αἱ διλοχίαι κατ' ἀρετήν. ἢ

CAP. X.

De ordinatione Phalangarcharum, Merarcharum, Tetrarcharum & aliarum Præfecturarum ſecundùm virtutis cuiusque præſtantiam.

Atque optimus Phalangarcharum ad dextrum cornu collocatur, ſecundus ab hoc ad ſiniſtrum. qui virtute tertius eſt, cum ſecundo ad Læuum mediam verſus ſecturam. quartus cum primo ad dextrum, & ipſe quoque mediam verſus ſecturam ita vt prima,& quarta Phalangarchia Duces habeant, qui virtute præſtent, primasque & quartas vires habeant, Secunda autem,& tertia ductores habeant, qui virtute ſecundum, tertiumque ordinem teneant. Demonſtrabimus autem, primas quartasque copias ſecũdis ac tertijs æquales eſſe, ita vt Duces æquipolleant. Merarchæ & ipſi quoque ita ordinantur, vt nimirum qui præſtat in prima Phalangarchia collocetur ad Læuam: qui vero ab hoc ſecundus eſt, ad dextram ſecundæ Phalangarchiæ: qui tertius ab iſto, ad Læuam tertiæ Phalangis: & ab hoc quartus, ad dextram quartæ phalangis ſtatuatur. Eodem modo in ſingulis quoque Tetrarchijs Lochagi ita ordinantur, vt primæ Decuriæ Lochagus virtute præſtet, ac quartæ Decurię Lochagus viribus ſecundum locum teneat. Sic enim ſecundum virtutem Dilochiæ viribus pares ſunt.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

nam prima Dilochia primum virtute, ac quartum habet: ſecunda vero ſecundum virtute, ac tertium. In Mathematicis autem diſciplinis demonſtratur: Cum in quatuor magnitudinibus proportiones ſunt, quod a primâ & quartâ prouenit, id eſſe æquale ei, quod a ſecundâ & tertiâ exſurgit. Quoniam vero in quoq; Syntagmate quatuor ſunt Tetrarchiæ, eadem proportione Syntagmata quoque inſtruemus, vt in vnoquoque Syntagmate primæ Tetrarchiæ Tetrarcha ad dextram collocetur, ac virtute primus ſit: quartæ Tetrarchiæ Tetrarcha a ſiniſtrâ ſit, ac virtute ſecundus: Tertiæ Tetrarchiæ Tetrarcha dextrum occupet locum, ac virtute tertius ſit: Secundæ Tetrarchiæ Tetrarcha Læuam teneat, ac virtute quartus ſit. Eandem proportionem ad iſtas habent etiam maiores præfecturæ.

γὰρ πρώτη διλοχία τὸν πρῶτον κατ' ἀρετὴν ἔχει καὶ τὸν τέταρτον. ἡ δὲ δευτέρα τὸν δεύτερον καὶ τρίτον κατ' ἀρετήν. δείκνυται δὲ ἐν τοῖς μαθήμασιν· ὅταν ὦσιν ἐν τέτρασι μεγέθεσιν ἀναλογίαι, τὸ ὑπὸ τοῦ πρώτου καὶ τετάρτου, ἴσον γινόμενον τῷ ὑπὸ δευτέρου καὶ τρίτου. Ἐπεὶ δὲ ἐν ἑκάστῳ συντάγματι τέσσαρες εἰσὶ τετραρχίαι, τῇ αὐτῇ ἀναλογίᾳ καὶ τὰ συντάγματα διακοσμήσομεν. ὥστε ἐν ἑκάστῳ συντάγματι τὸν τῆς πρώτης τετραρχίας τὸν τετράρχην ἐπὶ τοῦ δεξιοῦ τετάχθαι, καὶ πρωτεύειν κατ' ἀρετήν. τὸν δὲ τῆς τετάρτης τετραρχίας τετράρχην, εὐώνυμον εἶναι, καὶ δευτερεύειν κατ' ἀρετήν. τὸν δὲ τῆς τρίτης τετραρχίας τετράρχην, δεξιὸν εἶναι, καὶ τρίτον κατ' ἀρετήν. τὸν δὲ δευτέραν τετραρχίαν, εὐώνυμον ἔχειν τὸν τετράρχην, καὶ τέταρτον κατ' ἀρετήν. τὴν δ' αὐτὴν ἀναλογίαν ἔχουσι καὶ αἱ μείζονες ἡγεμονίαι πρὸς αὐτάς.

CAP. XI.

De interuallis, quibus inter ſe diſtant Pedites grauis armaturæ, tum alias ſimpliciter nimirum ordinati, tum condenſati, ac conſtipati: Quid ſit Denſatio, & Synaſpiſmus, ſeu Conſtipatio.

NVnc vero etiam de interuallis, quibus inter ſe diſtant Hoplitæ tum in Longitudine, tum in Altitudine, explicabimus. Sunt autem eorum tres differentiæ. Etenim primum

ΚΕΦ. ιά.

Περὶ διαστημάτων, ὧν ἀπ' ἀλλήλων ἀφεστᾶσιν οἱ ὁπλῖται, καὶ ἁπλῶς τεταγμένοι, καὶ πεπυκνωμένοι, καὶ συνησπικότες. πύκνωσις, καὶ συνασπισμός τι.

ΝΥν δὲ καὶ περὶ τῶν διαστημάτων, ὧν ἀπ' ἀλλήλων ἀφεστᾶσιν οἱ ὁπλῖται, κατά τε μῆκος, καὶ κατὰ βάθος, δηλώσομεν. διαφοραὶ δέ εἰσι τρεῖς. πρῶτον μὲν γὰρ τάσσονται ἐν

ἀραιᾷ.

ἀραιοτέροις διαστήμασιν ἐνίων χάριν χρειῶν. τεταγμένος μὲν οὖν ὁ ἀνὴρ κατέχει πήχεις τέσσαρας. πεπυκνωμένος δὲ κατέχει πήχεις δύο. Συνησπικὼς δὲ κατέχει πῆχυν. Ἐστὶ δὲ πύκνωσις, ὅταν ἐκ τῶν ἀραιοτέρων διαστημάτων ἐλάσσονα τὰ διαστήματα ποιήσας πυκνώσῃ κατὰ παραστάτην καὶ ἐπιστάτην, τουτέστι κατὰ μῆκος, καὶ κατὰ βάθος, οὕτως μέντοι, ὥστε ἐπιδέχεσθαι μεταβολήν. Συνασπισμὸς δέ ἐστιν, ὅταν ἐκ τῆς προειρημένης πυκνώσεως ἔτι μᾶλλον ἡ φάλαγξ πυκνώσῃ κατὰ παραστάτην. ὥστε διὰ τὴν συνέχειαν τοῦ στρατοῦ μὴ χωρεῖν κλίσιν, μήτε ἐπὶ τὰ δεξιὰ, μήτε ἐπὶ τὰ εὐώνυμα. Γίνεται δὲ ἡ πύκνωσις, ὅταν ὁ στρατηγὸς βουληθῇ ἀπάγειν τὴν φάλαγγα ἐπὶ τοὺς ἐναντίους. ὁ δὲ συνασπισμὸς πρὸς τὸ, τῶν πολεμίων ἔφοδον πεφραγμένως ὑποστῆναι. ἐπεὶ οὖν εἰσὶ χίλιοι καὶ κδʹ οἱ κατὰ μέτωπον τεταγμένοι λοχαγοὶ, δῆλον, ὅτι τεταγμένοι μὲν καθέξουσιν πήχεις τετρακισχιλίους ἐνενήκοντα ἓξ τοῦ μήκους, τουτέστι, στάδια δέκα, καὶ πήχεις ἐνενήκοντα ἕξ. πεπυκνωκότες δὲ καθέξουσι σταδίους ε. καὶ πήχεις μή. Συνησπικότες δὲ καθέξουσι σταδίους δύο, καὶ ἥμισυ, πήχεις κδʹ.

rarioribus diſtantijs ob vſus aliquos ordinantur. Itaque (ſimpliciter) ordinatus vir cubitos quatuor complectitur: denſatus occupat cubitos duos: conſtipatus vnum continet cubitum. Eſt autem Denſatio, cum quis e rarioribus diſtantijs minora faciens ſpatia agmen contractius reddit, ſecundum Paraſtatam, atque Epiſtatam, hoc eſt, in Longitudine, atque Altitudine, ita tamen, vt immutationem adhuc admittat. Synaſpiſmus, ſeu Conſtipatio eſt, cum tota Phalanx adhuc magis prædictâ Denſatione ſecundum Paraſtatam atque Epiſtatam contrahitur, ita vt propter contiguitatem nec dextrorſum, nec ſiniſtrorſum inclinationem exercitus admittat. Fit vero Denſatio, cum in aduerſarios Duci phalangem inducere conſilium eſt: Conſtipatio autem, vt irruentis hoſtis impetus firmiter ſuſtineri poſſit. Quoniam igitur in fronte Phalangis M XXIV Lochagi conſtituti ſunt, manifeſtum eſt, quod ordinati ijdem continebunt cubitos IV M XCVI in Longitudine, hoc eſt, ſtadia decem, ac cubitos XCVI: Denſati tenebunt ſtadia V, ac cubitos XLVIII. Conſtipati occupabunt ſtadia duo & ſemis, ac cubitos XXVIII.

Cap. XII.

De Phalangis armatura, quæ conſtat clypeis & haſtis.

ARmatura phalangis conſtat clypëis & haſtis. Atenim Clypeus optimus, eſt æneus, Macedonicus, non admodum cauus, octo palmarum in diametro: Haſta vero, non breuior octo cubitis, longiſſima tanta, vt tractanti eam viro ad vſum facilis ſit.

ΚΕΦ. ιβ.

Περὶ ὁπλίσεως τῆς φάλαγγος ἀσπίσι, καὶ δόρασι.

Η δὲ ὅπλισίς ἐστι τῆς φάλαγγος ἀσπίσι, καὶ δόρασιν. ἀσπὶς μὲν οὖν ἐστιν ἀρίστη χαλκῆ, Μακεδονικὴ, οὐ λίαν κοίλη, ὀκταπάλαιστος. δόρυ δὲ μὴ ἔλαττον ὀκταπήχεος. τὸ δὲ μήκιστον, μετὰ τοῦ δύνασθαι ἄνδρα κρατοῦντα χρῆσθαι εὐμαρῶς.

Cap. XIII.

Quales oporteat eſſe Lochagos primi iugi: deinde Epiſtatas ſecundi, tertij, & reliquorum deinceps.

CÆterum oportet Lochagos, vtpote Decuriarum in Phalange duces, omnium eſſe optimos, ita vt & magnitudine, & robore corporis alios antecellant, & peritia militari præ alijs probati ſint. hoc enim iugum Phalangem integram continet, ſummumque vſum exhibet. Vt enim Enſis acie ſuâ vim præſtat, ex mole incumbentis ferri grauitatem, ac pondus accipiens: eodem modo exiſtimandum, aciem Phalangis eſſe Lochagorum ordinem, molem vero, & pondus, grauitatisque additamentam, pone ſubſequenter poſitam turbam. Habenda conſequenter & ſecundi Iugi cura. nam harum quoque virorum haſtæ ſimul cum præceden-

ΚΕΦ. ιγ.

Ποίους δεῖ εἶναι τοὺς λοχαγοὺς τοῦ πρώτου ζυγοῦ. εἶτα καὶ τοὺς ἐπιστάτας τοῦ δευτέρου, καὶ τρίτου, καὶ τῆς ἐφεξῆς.

ΔΕῖ δὲ τοὺς λοχαγοὺς, ὡς ἂν ἡγεμόνας τῶν ἐν τῇ φάλαγγι λόχων ἀρίστους εἶναι πάντων. ὥστε μεγέθει τε καὶ ῥώμῃ τῶν ἄλλων διαφέρειν, ἐμπειρίᾳ τε προκεκρίσθαι. τοῦτο γὰρ τὸ ζυγὸν συνέχει, τὴν φάλαγγα, καὶ τὴν μεγίστην χρείαν παρέχει. ὥσπερ γὰρ μάχαιρα τῷ ἑαυτῆς στόματι βάρος καὶ σήκωμα τὸν τοῦ ἐπικειμένου σιδήρου ὄγκον προσλαβοῦσα τὴν αὐτῆς δύναμιν παρέχεται· τὸν αὐτὸν τρόπον καὶ φάλαγγος ὑποληπτέον στόμα μὲν εἶναι τὸ τῶν λοχαγῶν τάγμα, ὄγκον δὲ καὶ σήκωμα, καὶ βάρους πρόσθεσιν, τὸν κατὰ νώτους τασσόμενον ὄχλον. Φροντιστέον δὲ καὶ ἐκδεχομένων καὶ δευτέρου ζυγοῦ. συνεπεκτείνεται γὰρ τὸ δόρυ καὶ τούτων τῶν ἀνδρῶν, καὶ πλησίον συντεταγμένου

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

μένον παρεδεύει χρείαν ἐν πολλοῖς παρεχόμενον. καὶ πεσόντος ἢ τραυματισθέντος τοῦ λοχαγοῦ προσελθὼν εἰς τὸ πρόσθεν συνέχει τὴν τάξιν ἀρραγῆ. τὸ δὲ τρίτον ζυγὸν καὶ τὰ ἑξῆς ἐκ τοῦ πρὸς λόγον καθὸ τῇ δυνάμει ὑποβέβληκεν,

tium haſtis protenduntur, ac proximè illos conſtitutum hoc jugum adſiſtit in multis vſum præſtans atque occumbente, aut ſauciato Lochago hinc in eius locum ſuccedens aliquis ordinem integrum continet. Tertium etiam Iugum, & quæ illud ſequuntur, pro ratione virium, ac virtutis ſubijciuntur.

ΚΕΦ. ιδʹ.

Μακεδονικῆς φάλαγγος, καὶ τοῦ τῶν Σαρισσῶν μήκους.

Η δὲ Μακεδονικὴ φάλαγξ τοῖς πολεμίοις ἀνύποιστος ἐδόκει διὰ τὴν ἐν ταῖς τάξεσι κατασκευήν. ὁ γὰρ ἀνὴρ ἵσταται σὺν τοῖς ὅπλοις κατὰ τὰς ἐναγωνίους πυκνώσεις ἐν πήχεσι δύο. τὸ δὲ τῶν σαρισσῶν μέγεθός ἐστι κατὰ μὲν τὴν ἐξ ἀρχῆς ὑπόθεσιν ἑκκαίδεκα πηχῶν. κατὰ δὲ τὴν ἀλήθειαν δεκατεσσάρων· τούτων δὲ δύο πήχεις ἀφαιρεῖται τὸ μεταξὺ τοῖν χεροῖν διάστημα τῆς προσβολῆς. αἱ δὲ λοιπαὶ δεκαδύο πήχεις προπίπτουσι πρὸ τῶν σωμάτων. ἐκ τούτων οἱ ἐν τῷ δευτέρῳ ζυγῷ πήχεις δέκα. οἱ δὲ ἐν τῷ τρίτῳ ζυγῷ ὑπεραίρουσι τοὺς πρωτοστάτας πήχεις ή. οἱ δὲ ἐν τῷ δʹ, ἕξ. οἱ δὲ ἐν τῷ έ, πήχεις δʹ. οἱ δὲ ἐν τῷ ϛʹ, βʹ. καὶ πάντες οἱ κατόπιν οὐκ ἔχουσι τὰς σαρίσσας τῶν τοῦ πρώτου ζυγοῦ ὑπερεχούσας. διὸ καὶ καθ᾽ ἕκαστον τῶν ἐν τῷ πρώτῳ ζυγῷ τεταγμένων σαρίσσαι έ, ή, καὶ ϛʹ προβεβλημέναι, οἵαν εἰκὸς, ὄψιν πολεμίοις παρέχουσι, καὶ ἰσχὺν δὲ τοῦ ἀνδρὸς ἑ-

Cap. XIV.

De Macedonicâ Phalange, & Sariſſarum longitudine.

MAcedonica Phalanx hoſtibus intollerabilis videbatur propter conſtructionem quæ in ordinibus ſeruabatur. Vir enim cum armis ſuis, quoties imminente prælio denſatio fit, in ſpatio duorum cubitorum conſiſtit. Sariſſarum vero longitudo e veteri, & primario inſtituto ſedecim erat cubitorum, at ex rei veritate eſt quatuordecim. ab his autem in protenſione duos cubitos aufert intercapedo, quæ eſt inter vtramque manum, vt reliqui duodecim cubiti pro corporibus præmineant. Vnde qui in ſecundo Iugi Protoſtatis ſuccedunt ablatis cubitis IV Sariſſam habent prominentem ſupra armatos in Phalange primi Iugi cubitis X. qui in tertio ſunt Iugo ſupereminentem eam Protoſtatis habent cubitis VIII: qui in quarto, VI: qui in quinto, IV cubitis: qui in ſexto II: ac quotquit poſt hos ſunt, eorum nulli Sariſſas habent, quæ primum iugum ſuperent. Quamobrem cum ſingulis in primo iugo conſtitutis V,

vel etiam vi Sariſſæ protendantur, veriſimile eſt, id hoſtibus terribile videri, roburque viro vaut vi Sariſſis obſepto, auctisque viribus innixo addi. Et qui ordine poſt ſextum iugum poſiti ſunt, etiam ſi illi Sariſſis ſuis nihil efficiant, attamen pondere corporum ſuorum incumbentes phalangis vim adaugent, ac fugæ ſpem Protoſtatis adimunt. Nonnulli vero haſtas hoplitarum poſteriorum longiores priorum haſtis effecere, vt, qui aduſque tertium, quartumve iugum poſiti ſunt, eorum quoque cuſpides æqualiter cum prioribus in aduerſarios proferri poſſint. Porro Tergidux in quolibet Syntagmate extraordinarius, prudens ſit, atque peritus, quique toti agmini proſpiciat, vt inter ſe verſent, & iugent: quique milites vel metu, vel alia de cauſa ſe ſubducentes in ordinem redire compellat: qui etiam in Synaſpiſmis, poſtulante id vſu, cogat milites quam poſſunt arctiſſimè ſibi mutuo inniti. id enim eſt, quod agmini robur addit. vt nimirum non in Fronte ſolum, ſed in Tergo etiam agminis prædictas ob cauſas ſit qui præfecti vicem ſuſtineat.

ἢ καὶ ϛʹ, πεφραγμένου, ὅπερ ἐστὶ σκοπεῖν. καὶ οἱ μετὰ τὸ ϛʹ ζυγὸν, κἂν μὴ ταῖς σαρίσσαις ἐνεργῶσι, τῷ βάρει τῶν σωμάτων ἐπιβριθόντες ἰσχυροτέραν ποιοῦσι τὴν δύναμιν, καὶ τοῖς πρωτοστάταις ἀνέλπιστον φυγεῖν. ἔνιοι δὲ τὰ τῶν ὀπίσω τεταγμένων ὁπλιτῶν, δόρατα μακρότερα τῶν ἔμπροσθεν κατεσκεύασαν, ἵνα καὶ ὁ μέχρι τρίτου ζυγοῦ, ἢ τετάρτου τεταγμένοι τὰς αἰχμὰς ἐξ ἴσου τοῖς ἀντιπαρατεταγμένοις ἐπιφέρωσιν. ὁ δὲ καθ' ἕκαστον σύνταγμα ἔκτακτος οὐραγὸς ἔστω συνετὸς, ὅλου τοῦ συντάγματος προνοούμενος, ἵνα στοιχῶσι, καὶ ζυγῶσιν ἀλλήλοις, τούς τε ἀναδυομένους διὰ δειλίαν, ἢ δι' ἄλλην τινὰ αἰτίαν καλύων εἰς τάξιν καθιστάναι, ἔν τε τοῖς συνασπισμοῖς, ἐάν τις χρεία γένηται, ἀναγκάσῃ συνερείδειν τοὺς ἄνδρας ὅτι μάλιστα ἀλλήλοις. τοῦτο γάρ ἐστι, τὸ τὴν ἰσχὺν τῷ τάγματι παρεχόμενον, ἵνα μὴ μόνον ἐν τῷ μετώπῳ, ἀλλὰ καὶ ἐπ' οὐρᾶς τοῦ τάγματος κύριός τις ὑπάρχῃ τῶν προειρημένων ἕνεκεν αἰτιῶν.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ΚΕΦ. ιέ.

Περὶ τῆς τῶν ψιλῶν συντάξεως.

Αὐτάρκως δὲ εἰρηκότες περὶ τοῦ καταλοχισμοῦ τῶν ἐν τῇ φάλαγγι ὁπλιτῶν, νῦν καὶ περὶ τῶν ψιλῶν δηλώσομεν. ταγήσονται δὲ ὑπὸ τοῦ στρατηγοῦ πρὸς τὰς τῶν πολεμίων παρασκευάς, ὅταν μὲν προτασσόμενοι, ὅταν δὲ ὀπίσω τῆς φάλαγγος, ὡς ἂν ἀπαιτῇ τὸ πρᾶγμα. νῦν δὲ συντετάχθωσαν οὕτως. λόχους μὲν καὶ ἐν τοῖς ψιλοῖς τάξομεν χιλίους κδ΄, τοὺς ἴσους τῶν ἐν τῇ φάλαγγι. ὥστε ὑπὸ τὸν πρῶτον τῶν ὁπλιτῶν τὸν πρῶτον λόχον τῶν ψιλῶν τετάχθαι, καὶ ὑπὸ τὸν δεύτερον, καὶ ὁμοίως κατὰ τὸ ἑξῆς. οὐ μέν τοι δέκα ἓξ ἀνδρῶν εἶναι δεῖ, ἀλλὰ τοὺς ἡμίσεας ἐξ ὀκτὼ ἀνδρῶν ὥστε τοὺς χιλίους κδ΄ λόχους ἀνδρῶν εἶναι, ή ρ ἐννενήκοντα δύο.

Cap. XV.

De Velitum coordinatione.

Cæterum cum ſatis ſuperque de Catalochiſmo Hoplitarum, qui in Phalange ſunt, dixerimus, nunc etiam de velitibus, vt illi ſint ordinandi, exponemus. Statuentur autem illi a belli Duce, pro vt hoſtilis acies inſtructa eſt, modò ante Phalangem, modò poſt, vt nimirum neceſſitas ipſa exigit. Nunc conſtruantur ita: Velitum quoque Decurias M XXIV ordinabimus, pares ſcilicet numero armatorum. vt ſub primâ hoplitarum decuriâ prima etiam Velitum decuria ordinetur, ſub ſecundâ ſecunda, ac ſic deinceps. Horum tamen decuriæ haud ſedecim virorum eſſe debent, ſed dimidium tantum, nempe octo ita vt .M. ac XXIV decuriæ conſtent .c virorum octo millibus CXII.

ΚΕΦ. ιϛ΄.

Περὶ ὀνομάτων καὶ τάξεων τῶν ψιλῶν.

Ὀνόματα δὲ αὐτῶν καὶ τάξεις εἰσὶν αἱ ὑποτεταγμέναι. οἱ τέσσαρες λόχοι τῶν ψιλῶν καλοῦνται, σύστασις, ἀνδρῶν λβ΄. αἱ δὲ δύο συστάσεις, πεντηκονταρχία, ἀνδρῶν ξδ΄. αἱ δὲ δύο πεντηκονταρχίαι ἑκατονταρχία ἀνδρῶν ρκή: καθ' ἑκάστην δὲ ἑκατονταρχίαν ἔκτακτοι ἄνδρες ἔσονται έ, Σημειοφόρος, Οὐραγὸς, Σαλπιγκτής,

Cap. XVI.

De nominibus, & ordinibus Velitum.

Nomina, ordineſque eorum ſunt, qui ſubijciuntur, & ſequuntur. Velitum quatuor Decuriæ vocantur, Syſtaſis, virorum XXXII: Duæ Syſtaſes, Pentecoſiarchia, virorum LXIV: Duæ Pentecoſiarchiæ, Hecatontarchia, virorum CXXVIII, In quâque autem Hecatontarchiâ extraordinarij viri erunt, Signifer, Tergidux, Tubicen, Famulus, Præco: Ὑπηρέτης, Στρατοκῆρυξ. αἱ δὲ δύο

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Duę Hecatontarchiæ, virorum CCLVI, dicuntur, Pſilagia: Duæ Pſilagiæ, Xenagia, virorum D. XII: Duæ Xenagiæ, Syſtema, virorum M. XXIV: Duo Syſtemata, Epixenagia, virorum bis MXLVIII: Duæ Epixenagiæ, Stichus, virorum IV M XCVI: Duo Stichi, Epitagma, decurias continens M. XXIV, viros octo mille. Debent vero & his eſſe viri extraordinarij octo. quorum quatuor erunt Epixenagi, quatuor Syſtematarchæ.

ἑκατονταρχίαι εἰσὶ μὲν ἀνδρῶν σνϛ΄. καλεῖται δὲ, ψιλαγία. αἱ δὲ δύο ψιλαγίαι, ξεναγία, ἀνδρῶν φιβ΄. αἱ δὲ δύο ξεναγίαι, σύστρεμμα ἀνδρῶν ακδ΄. τὰ δὲ δύο συστρέμματα, ἐπιξεναγία, ἀνδρῶν βμη΄. αἱ δὲ δύο ἐπιξεναγίαι, στίφος, ἀνδρῶν δ΄ ἐνηνήκοντα δύο. τὰ δὲ δύο στίφη, ἐπίταγμα, λόχων μὲν ακδ΄, ἀνδρῶν δὲ ηρ, ἐνηνήκοντα δύο. δεῖ δὲ καὶ τούτοις ὑπάρχειν ἄνδρας ὀκτὼ ἐκτάκτους. ὧν οἱ μὲν τέσσαρες ἔσονται ἐπιξεναγοί, οἱ δὲ τέσσαρες συστρεμματάρχαι.

CAP. XVII.

De Iaculationibus, Arquutibus, & omnibus, qui telis eminus vtuntur, deq́ eorum vſu.

QVicumque iaculis, arcu, aut telis eminus vtitur, vtilis eſt, & ad inchoandum prælium; & ad prouocandum hoſtem; & ad arma confringenda, & ad vulnera infligenda, ſtragesque ex aliquo interuallo faciendas; & ad ordines diſturbandos; & ad equitem repellendum; & ad eos retrocedere cogendos, qui procurſantes ferire prius ſtudent, & ad ſuſpecta locorum exploranda; & ad inſidias ſtruendas: atque vt ſummatim dicam, hi & ante conflictum dimicantes, & ſimul cum cæteris depugnantes multam, magnamque in prælijs operam præſtant.

ΚΕΦ. ιζ.

Περὶ ἀκοντιστῶν, τοξοτῶν, καὶ πάντων ἀκροβολιζόντων, τῆς τε αὐτῶν χρείας.

Ὁ δὲ ἀκοντιστὴς, καὶ ὁ τοξότης, καὶ πᾶς ὁ ἀκροβολιστικοῖς χρώμενος πρὸς τὸ κατάρξασθαι, καὶ ἐκκαλέσασθαι, καὶ τὰ ὅπλα κατακόψαι, καὶ τραύματα, καὶ πτώματα ἐκ διαστήματος ποιῆσαι, καὶ τὰς τάξεις διαλῦσαι, καὶ ἵππων ἀποκρούσασθαι, καὶ τοὺς προκατειλημένους βάλλοντας ὑποχωρεῖν ἀναγκάσαι, καὶ τοὺς ὑπόπτους τῶν τόπων ἐρευνῆσαι, καὶ ἐνέδρας παρασκευάσαι. τὸ δὲ ὅλον εἰπεῖν, αὐτοὶ καὶ προαγωνιζόμενοι, καὶ συναγωνιζόμενοι πολλὰ, καὶ μεγάλα κατεργάζονται περὶ τὰς μάχας.

ΚΕΦ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ΚΕΦ. ιη΄. / CAP. XVIII.

Πῶς τοὺς ἱππεῖς συντακτέον, Ῥομβοειδῶς, Ἐμβολοειδῶς ἢ ἐν σχήματι τετραγώνῳ.

Τὰς δὲ τῶν ἱππέων τάξεις ἤτοι τετραγώνους, ἢ ἑτερομήκεις, ἢ Ῥομβοειδεῖς, ἢ ἐμβολοειδεῖς οἱ πρὸ ἡμῶν συνέταξαν. οὐδεὶς δὲ ὡς ἔπος εἰπεῖν, σαφῶς ἡμῖν παρέδωκε τὸ βούλημα. διόπερ ἡμεῖς καὶ ἐπὶ καταγραφῆς τὰ σχήματα τάξομεν, ὅπως εὐσύνοπτα γένηται. τοῖς μὲν οὖν ῥομβοειδέσι δοκοῦσι Θεσσαλοὶ κεχρῆσθαι ἐν ἱππικῇ πολὺ δυνηθέντες, Ἰάσονος σφίσι πρώτου τὸ σχῆμα τοῦτο ἐπινοήσαντος, ὡς ἐπιτηδειότατον πρὸς πάσας τὰς χρείας, καὶ τάχιστα μὲν πρὸς ἑκάστην ἐπιφάνειαν στρέφεσθαι δυναμένων τῶν ἐν τῷ σχήματι τούτῳ τεταγμένων ἵππων, ἥκιστα δὲ κατὰ νώτου, καὶ πλαγίων ἁλίσκεσθαι. τούς τε γὰρ ἀρίστους τῶν ἱππέων ἐπὶ τῶν πλευρῶν τοῦ ῥόμβου τάσσεσθαι, καὶ κατὰ τὰς γωνίας τοὺς ἡγεμόνας ἐπὶ μὲν τῆς ἔμπροσθεν γωνίας τὸν ἰλάρχην ἐπὶ δὲ τῆς δεξιᾶς καὶ εὐωνύμου γωνίας τοὺς καλουμένους πλαγιοφύλακας, ἐπὶ δὲ τῆς λοιπῆς τὸν οὐραγόν. τοῖς δὲ ἐμβολοειδέσι Σκύθαι δοκοῦσι κεχρῆσθαι. καὶ Θρᾷκες, καὶ Μακεδόνες ἐχρήσαντο, Φιλίππου τοῦτο εἰσηγησαμένου. τὴν γὰρ χρείαν ἐνεργεστέραν. ταύτας ἔχειν μᾶλλον τῶν τετραγώνων ὑπέλαβον, διὰ τὸ κύκλῳ τοὺς ἡγεμόνας τετάχθαι, τὸ δὲ μέτωπον βραχύ τι γινόμενον, καὶ τὴν

Quomodo Equites in Rhombi-formam, Cunei, aut Quadratam conſtruendi.

Equitum acies vel Quadratas, vel oblongas, vel Rhombi-formes, vel Cunei-formes autores nobis ſuperiores conſtruxère. nemo tamen eorum, vt verbo dicam, quid vellet clarè nobis tradidit. Quare nos in deſcriptione etiam figuras adiungemus, vt facilè ex ipſo intuitu intelligi poſſint. Aciebus ad Rhombi-ſimilitudinem efformatis videntur vſi fuiſſe Theſſali, qui equitatu plurimum valuêre, a Iaſone primum ipſis formâ iſtâ excogitatâ, velut ad omnes vſus accommodiſſima, cum in eâ collocati equites in quemuis aſpectum celerrimè ſe vertere, ac minimè a tergo, aut lateribus capi poſſint. optimos namque equitum a lateribus collocari, duces autem in angulis, atque in priore quidem angulo Ilarcham, in dextro ac ſiniſtro angulo, qui Plagiophylaces, h.e. laterum cuſtodes dicuntur, in reliquo Tergiductorem. Cunei formis vſi videntur Scythæ, & Thraces. vſi ſunt etiam Macedones introducente eas Philippo. autumabat enim has vſum habere Quadratis efficaciorem, quod vndique Duces circumpoſiti ſint, cumque Frons breuis fiat, equitationem etiam huc illuc facilem vel per quodvis interuallum

reddere; adhæc & Reuerſionem, & Conuerſionem compendioſam, quod difficiles non habeant circumductiones, quemadmodum Quadratæ. Quadratis vſi ſunt tum Perſæ, tum Siculi, ac Græcorum plerique, perſuaſum habentes, eas & conſtructionem habere faciliorem, & coequitationem, vſumque adeo reliquis multo meliorem. faciliorem quippe conſtructionem obtinere, cum per verſus, & iuga ordinentur. cui accedit, quod in his ſolis omnes pręfecti ſimul in hoſtes confertim irruant. Sunt vero inter eas omnium optimæ, quæ numerum duplo maiorem habent in Longitudine, quam in Altitudine; vt, VIII in Longitudine: IV in Altitudine: vel X in Longitudine, V in Altitudine. atque hæ numero quidem ſunt oblongæ, attamen figura Quadratæ fiunt. Equi namque a capite ad caudam Longitudine ad eiuſdem latitudinem collata plures eſſe debeat, qui in iugis, quam qui in verſibus ordinantur. Quidam triplum fecêre Longitudinis numerum ad Altitudinem, hoc modo figuram Quadratam effecturos ſe rati. videtur enim tripla omnino eſſe Longitudo equi ad armorum Latitudinem vnde nouem in fronte conſtituentes, in Altitudine tres collocant. nec enim multitudo poſteriorum equitum eundem præſtat vſum, quem in Peditibus Altitudo pone innitentium. nihil enim conferunt ad vehementiam renixus, cum neque

διίππευσιν εὔχρηστον ποιεῖν διὰ τὸ τυχόντα διαστήματα, καὶ τὴν ἀναστροφὴν, καὶ ἐπιστροφὴν σύντομον. οὐ γὰρ ἔχειν δυσκόλους τὰς περιαγωγάς, ὥσπερ τετραγώνους. τοῖς μέντοι τετραγώνοις ἐχρήσαντο Πέρσαι τε καὶ Σικελοὶ, καὶ τῶν Ἑλλήνων οἱ πλεῖστοι, πεπεισμένοι καὶ τὴν σύνθεσιν ἔχειν εὐχερεστέραν, καὶ τὴν συνίππευσιν, καὶ τὴν χρείαν πολλῷ βελτίω. τήν τε γὰρ σύνταξιν εὐχερεστέραν κατά τε στίχον, καὶ κατὰ ζυγὸν τεταγμένων, καὶ μόνων τούτων πάντας τοὺς ἡγεμόνας ἀθρόως ἐμπίπτειν τοῖς πολεμίοις. κράτισται δέ εἰσιν, αἱ διπλάσιον τὸν ἀριθμὸν τὸν ἐν τῷ μήκει ἔχουσαι, ἤπερ ἐν τῷ βάθει. οἷον, ὀκτὼ μὲν τὸ μῆκος, τέσσαρας δὲ τὸ βάθος. ἢ δέκα μὲν τὸ μῆκος, πέντε δὲ τὸ βάθος. αὗται δὲ τῷ μὲν ἀριθμῷ εἰσιν ἑτερομήκεις, τῷ δὲ σχήματι γίνονται τετράγωνοι. τὸ γὰρ ἵππου ἀπὸ κεφαλῆς ἐπὶ οὐρὰν μῆκος πρὸς τὸ πλάτος συγκρινόμενον, τοὺς κατὰ ζυγοὺς τασσομένους τῶν κατὰ τοὺς στίχους πλείονας ἔχειν ὀφείλει. ἔνιοι δὲ τριπλάσιον ἐποίησαν τὸν ἀριθμὸν τῶν ἐν τῷ μήκει τεταγμένων παρὰ τοὺς ἐν τῷ βάθει, οὕτως δοκοῦντες τετράγωνον ποιήσειν τὸ σχῆμα. δοκεῖ γὰρ τριπλάσιον ὡς ἐπίπαν εἶναι τὸ μῆκος τοῦ ἵππου τοῦ κατὰ τοὺς ὤμους πλάτους. ὅθεν ἐννέα ἐν τῷ μετώπῳ τάσσοντες τρεῖς ἐν τῷ βάθει ποιοῦσιν. οὐδὲ γὰρ τὸ πλῆθος τῶν ὄπισθεν ἱππέων τὴν αὐτὴν ὠφέλειαν παρέχει, ἣν ἐπὶ τῶν πεζῶν τὸ βάθος ὄπισθεν ἐπερείδοντες. οὐδὲν γὰρ συμβάλ-

λονται, πρὸς τὴν σφοδρότητα τῆς ἀντερείσεως. οὐδὲ γὰρ ἐπωθοῦσιν οὐδὲ συνέχουσι τοὺς πρὸ ἑαυτῶν, τοῦ σύμπαντος πλήθους ἕν τι βάρος ἀποτελοῦντος. ἐπιβάλλοντες δὲ τοὺς πρὸ ἑαυτῶν κακοποιήσουσιν ἑαυτοὺς μᾶλλον τῶν ἐναντίων ἐκταράξαντες τοὺς ἵππους. διόπερ ἀεὶ συμβαίνει, ὅταν ἴσος ἀριθμὸς τῶν ἱππέων ὁ τοῦ μήκους πρὸς τὸ βάθος τυγχάνῃ, τὸν μὲν ἀριθμὸν τετράγωνον γίνεσθαι, τὸ δὲ σχῆμα ἑτερόμηκες, τοῦ βάθους μείζονος ὄντος ἢ τοῦ μήκους. ὅταν δὲ τὸ σχῆμα τῆς ἴλης τετράγωνον ᾖ, ὁ ἀριθμὸς τῶν ἱππέων γίνεται ἑτερόμηκες.

propellant, nec contineant anteriores, haud efficiente totâ multitudine vnum pondus. Quin ſi priores impellantur, conturbatis equis plus ſibi noxæ inferent, quam aduerſarijs. Quare ſemper, cum numerus equitum æqualis tam in Longitudine, quam Altitudine exiſtit, numerus quidem Quadratus, at Forma fit oblonga, at cum Turmæ forma Quadrata fuerit, equitum numerus fit altera parte longior.

λ λ λ λ λ λ λ λ
λ λ λ λ λ λ λ λ
λ λ λ λ λ λ λ λ
λ λ λ λ λ λ λ λ

λ λ λ λ λ λ λ λ λ λ
λ λ λ λ λ λ λ λ λ λ
λ λ λ λ λ λ λ λ λ λ

λ λ λ λ λ λ λ λ λ
λ λ λ λ λ λ λ λ λ
λ λ λ λ λ λ λ λ λ
λ λ λ λ λ λ λ λ λ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

CAP. XIX.

Quare acies Equitum Rhombiformes in vſum admiſſa. & quomodo veteres varijs formis eas inſtruxerint, ita vt alia & Verſarent ſimul, & Iugarent: alia neq; Verſarent, neque Iugarent: alia rurſus Verſarent tantum, non Iugarent quidem, non etiam Verſarent.

RHombiformis figura in vſum admiſſa videtur, quod maximè neceſſaria habita ſit. Cum enim Ilarcha primus collocetur, qui vtrimque conſtituuntur equites, non æqualiter debent cum Ilarchâ iugum facere, ſed ita ſuccedere, vt horum equina capita iuxta armum equi, cui inſidet Ilarcha, ſtatuantur; vtque diſtantias a ſe mutuo ſeruent equites, tam qui a dextris & ſiniſtris ſunt, quam qui viciſſim pone ſequuntur, ne contiguitas ordinem turbet: quod nonnulli equi, ijque naturâ ferociores, calcitrationibus frequenter offendãt: neve equus, oblongum cum ſit animal, in conuertendo calcitrans in equos ſibi proximos vulnera præliantibus infligat. Eorum porro, qui equitatum in Rhombi formam ordinarunt, nonnulli ita inſtruxere, vt equites & verſus, & iuga ſimul facerent: alij, vt verſus tantum, non etiam iuga: alij, vt iuga, non verſus facerent. Singulorum autem ordo ita ſe habet. Qui Rhombos verſare, & iugare ſimul voluere, maximum totius Turmæ iugum ex impare numero medium or-

ΚΕΦ. ιθ'.

Διά τι αἱ τῶν ἱππέων τάξεις Ῥομβοειδεῖς παρειλήφθησαν. καὶ ὅπως αὐτὰς διαφόρως οἱ παλαιοὶ ἐσχημάτισαν, ὥστε τὰς μὲν στοιχεῖν ὁμοῦ, καὶ ζυγεῖν· τὰς δὲ, οὔτε στοιχεῖν, οὔτε ζυγεῖν· ἄλλας πάλιν στοιχεῖν μόνον, οὐ ζυγεῖν, καὶ ἄλλας ζυγεῖν μὲν, οὐ στοιχεῖν.


ΔΟκεῖ δὲ Ῥομβοειδὲς σχῆμα ἀναγκαιότατον παρειλῆφθαι. τοῦ γὰρ ἰλάρχου πρώτου τασσομένου οἱ ἐξ ἑκατέρου μέρους τασσόμενοι ἱππεῖς οὐκ ἐξ ἴσου τῷ ἰλάρχῳ ζυγεῖν ὀφείλουσιν, ἀλλὰ ὑποβεβηκέναι, ὥστε τὰς κεφαλὰς τῶν ἱππέων αὐτῶν κατὰ τοῦ ὤμου τοῦ ἵππου τοῦ ἰλάρχου τετάχθαι, διαστήματά τε ἀπ' ἀλλήλων τοὺς ἱππέας ἔχειν τούς τε ἐκ δεξιῶν, καὶ εὐωνύμων ὄντας, καὶ τοὺς ὀπίσω ἐν τοῖς μέρεσι τεταγμένους, ἵνα μὴ ἡ συνέχεια τάραχον ἐμποιῇ, λακτίσμασι τινῶν περιπιπτόντων πολλάκις τῶν ἱππέων καὶ τραχυτέρων τὰς φύσεις ὄντων. ἔν τε τῷ ἀναστρέφειν ἵνα μὴ παραμήκες ὂν τὸ ζῶον εἰς τοὺς πλησίον ἵππους ἐκλινάσσον τραῦμα τοῖς ἀγωνιζομένοις παρέχηται. τῶν μὲν ἐν τοῖς ῥομβοειδέσι σχήμασι τὴν ἵππον συνταξάντων, οἱ μὲν οὕτως ἔταξαν, ὥστε τοὺς ἱππέας, καὶ στοιχεῖν καὶ ζυγεῖν, οἱ δὲ στοιχεῖν μὲν, οὐκ ἔτι δὲ ζυγεῖν, οἱ δὲ ζυγεῖν μὲν, οὐ στοιχεῖν δέ. ἑκάστη δὲ τάξις οὕτως ἔχει· οἱ μὲν τοὺς ῥόμβους καὶ στοιχεῖν, καὶ ζυγεῖν βουληθέντες ἔταξαν τὸν μέγι-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

μέγιστον ἐν τῇ ἴλῃ ζυγὸν μέσον ἐξ ἀριθμοῦ περισσοῦ. οἷον ἕνδεκα τρίτου, ἢ δεκαπέντε, ἐφ' ἑκάτερα δὲ τούτου τοῦ ζυγοῦ ἔταξαν, ὃν μὲν ἔμπροσθεν, ὃν δὲ ὄπισθεν, ἕκαστον δ' αὐτῶν δυσὶ τοῦ προτέρου λειπόμενον. οἷον, εἰ ὁ μέγιστος ζυγὸς ἱππέων ᾖ δεκαπέντε, ἕκαστον τὸν ἐφ' ἑκάτερα αὐτοῦ δεκατρεῖς ἱππεῖς ἔχειν. τοὺς δὲ μετὰ τούτους ἐφ' ἑκάτερα ἕνδεκα. καὶ ἀεὶ δυσὶ λειπομένους, ἕως εἷς καταλειφθῇ, καὶ ἡ ὅλη ἴλη γίνηται ἱππέων ἑκατὸν δεκατριῶν.

dinauere, vt vndecim, tredecim, aut quindecim: ab vtraque vero huius iugi parte aliud poſuere anterius, aliud poſterius, binario vtrumque priori minus. Vt ſi, exempli cauſa, maximum Iugum ſit equitum xv, vtrumque ab eo alterum xiii habebit equites: quæ vero ab his vtrimq; ſequuntur iuga, xi: ac ſic deinceps ſemper binario minora erunt, donec vnus eques ſuperſit, ac totà equitum Turma fiat, cxiii.


Rhombi verſantes & iugantes ſimul.



Τὸ δὲ ἥμισυ τοῦ ῥόμβου, ἔμβολος καλεῖται, εἰς τρίγωνον μετασχηματιζόμενον, ὥστε ἐνταυτῷ δεδήλωται καὶ τὸ ἐμβόλου σχῆμα.

Dimidium autem Rhombi, Roſtrum ſeu Cuneus vocatur, in triangulum efformatum; ita vt & Roſtri forma iam in Rhombo explicata ſit,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10



Alij Rhombum ita inſtruxere, vt in Rhombi formâ ordinati Equites neque verſarent, neque iugarent; hac in formâ & conuerſiones; & equitum tranſitiones faciliores eſſe arbitrati, vt quæ neque a dextris, neque a ſiniſtris, nec pone vllum impedimentum habeant. Collocant autem primum Ilarcham, deinde ſimiliter Ilarchæ vtrimque & a dextris, & a ſiniſtris ſuccedentes, ita vt, quemadmodum antea diximus, equina horum capita iuxta armos præpoſiti equi exiſtant. Ac primum ordinem ſtatuunt ex equitum impare numero, puta, vndecim, Ilarcha in medio conſtituto, quinque ei vtrimque ſuccedentibus: ita vt hoc iugum duo Rhombi latera cõtineat. poſt Ilarchã vero collocetur Zygarcha, ſeu Iugi præfectus, cui ſimiliter vtrimque alii ſuccedant. deficit autem totus numerus ſequentis nimirum Iugi binario a priori: ita, vt ab vtraque Zygarchæ parte quatuor poſiti ſint: ſitque totus numerus ſecundi ordinis, nouem. Atque hoc iugum duobus prioribus lateribus

Ἄλλοι δὲ οὕτως συνέταξαν, ὥστε τοὺς ἐν ῥόμβῳ κατατεταγμένους ἱππέας μήτε στοιχεῖν, μήτε ζυγεῖν. εὐχερεστέρας ἐν τούτῳ τῷ σχήματι τὰς ἐπιστροφάς, καὶ διιππεύσεις ὑπολαβόντες, μήτε ἐκ τῶν δεξιῶν, ἢ εὐωνύμων, μήτε ἐκ τοῦ ὄπισθεν ἐμπόδιόν τι περιεχούσας. τάσσουσι δὲ πρῶτον μὲν τὸν ἰλάρχην, εἶτα τοὺς ἐκ δεξιῶν τοῦ ἰλάρχου, καὶ ὁμοίως τοὺς ἐξ εὐωνύμων ὑποσταλκότας, ἵνα, ὡς εἴπομεν, αἱ κεφαλαὶ τῶν ἵππων τούτων κατὰ τοὺς ὤμους τῶν προτεταγμένων ἵππων τυγχάνωσι. καὶ τὸ μὲν πρῶτον τάγμα ἐκ περισσοῦ ἀριθμοῦ ἱππέων, οἷον, ἕνδεκα, τοῦ μὲν ἰλάρχου μέσου τεταγμένου, πέντε δὲ ἐφ' ἑκάτερα ὑποβεβηκότων. ὥστε τοῦτο τὸ ζυγὸν τὰς δύο τοῦ ῥόμβου πλευρὰς περιέχειν, ὀπίσω δὲ τοῦ ἰλάρχου τετάχθαι τὸν ζυγάρχην. εἶτα ἐφ' ἑκάτερα τούτου ὁμοίως ὑποβεβηκότας. ὅλον δὲ τοῦ ἑξῆς οἱονεὶ ζυγοῦ ἀριθμὸν δυάδι τοῦ προτέρου λείπειν. ὥστε ἐφ' ἑκάτερα τοῦ ζυγάρχου τέσσαρας τετάχθαι, καὶ τὸν ὅλον τοῦ δευτέρου τάγματος ἀριθμὸν ἐννέα εἶναι. καὶ τοῦτο

δὲ τὸ ζυγὸν ὁμοίως τοῖς πρώταις δυσὶ πλευραῖς τοῦ ῥόμβου παράλληλους δύο πλευρὰς ποιεῖ. τὸ δὲ τρίτον ἑπτά· καὶ οὕτω μέχρι ἑνὸς, καὶ γίνεται ἡ ἴλη αὕτη ἱππέων λϛ΄. τούτῳ δὲ τῷ σχήματι τῆς ἴλης κέχρηται Πολύβιος, ἀνδρῶν μέντοι ξδ΄, ἐν σχήματι τοῦ Λ στοιχείου.

Rhombi duo alia velut parallela facit. Tertium Iugum e ſeptem conſtat, ac ſic deinceps ad vnum vſque. Fitque hæc Turma equitum XXXVI. Vſus autem eſt hac Turmæ formâ Polybius, ſed virorum LXIV, in formam litteræ Græcorum, Λ.

Ἴλη ῥομβοειδὴς, ἥτις οὔτε στοιχεῖ, οὔτε ζυγεῖ.

λ
λ λ
λ λ λ
λ λ λ λ
λ λ λ λ λ
λ λ λ λ λ λ
λ λ λ λ λ
λ λ λ λ
λ λ λ
λ λ
λ

Turma Rhombiformis, quæ neque verſat, neque iugat.


Ἄλλαι δέ εἰσιν, αἵπερ συνίστανται ἐκ στιχούντων μὲν, οὐκ ἔτι δὲ καὶ ζυγούντων, αἵτινες οὕτω συντάττονται. στίχον ἐποίησαν ἐξ ὅσων δήποτε ἱππέων, ὧν ὁ μὲν ἡγούμενος, ἰλάρχης ἐστὶν, ὁ δὲ ἔσχατος οὐραγὸς, ἐφ᾽ ἑκάτερα ἄλλους στίχους τάξας ἔκ τε τῶν δεξιῶν, καὶ εὐωνύμων μερῶν ἐν ἀριθμῷ λειπομένους, οὗ κατὰ μέσα τὰ διαστήματα ἀφέστηκεν ἐν τῷ πρώτῳ στίχῳ ἱππεὺς ἀπὸ ἱππέως, τοῦ ἐφ᾽ ἑκάτερα παραστῆσαι. κἂν ὦσιν οἷον ἐπὶ τῷ πρώτῳ στίχῳ δέκα ἵπποι, ἐν τῷ ἐφ᾽

Sunt etiam aliæ Rhombi formæ, quę ex verſantibus, non autem iugantibus conſtituuntur, eaq; ita inſtruuntur. Fecere verſus e quantocumque Equitum numero, quorum Dux & primus eſt Ilarcha, vltimus Tergidux. ej vtrimque alios verſus adiunxere & a dextris, & a ſiniſtris partibus vno minores priori. Quorum circa media interſtitia eques in primo verſu tantum ab equite diſtat, quantum is, qui vtrimque adſiſtit. Et ſi ſint, exempli cauſa, primo verſu equites decem,

in ijs, qui vtrimq; adiunguntur, noué æqualiter erunt: quique & his inde vtrimque accedunt, ſinguli octo: atque ita ſemper in reliquis verſibus ad vnum vſque. Sic enim eueniet, vt inter ſe verſent equites, non etiam iugent. Atque hoc ipſum facilem etiam vſum habet ad Inclinationes, quæ in vtrumque latus fiunt. Vocatur autem in dextram quæ fit, In haſtam inclinatio; in læuam quæ fit, In habenas.

ἑκάτερα ἀνὰ ἐννέα ἔσονται. εἰ δὲ ἐν τοῖς ἔτι ἐφ' ἑκάτερα ἀνὰ ὀκτὼ, καὶ οὕτω μέχρι ἑνὸς, ἀεὶ δὲ τῶν ἐν τοῖς ἐφεξῆς στίχοις. οὕτω γὰρ συμβήσεται στοιχεῖν μὲν ἀλλήλους τοὺς ἱππέας, μηκέτι δὲ ζυγεῖν εὔχρηστον, δὲ καὶ τοῦτο ἐστὶ πρὸς τὰς εἰς τὰ πλάγια γινομένας κλίσεις. καλεῖται δὲ ἡ μὲν εἰς τὰ δεξιὰ κλίσις, ἐπὶ δόρυ, ἡ δὲ εἰς τά εὐώνυμα, ἐφ' ἡνίαν.

Rhombus qui verſat, non iugat.



ἴλη ῥομβοειδὴς, ἡ στοιχεῖ μὲν, οὐ ζυγεῖ.

Quod ſi quidem Turma ex Iugantibus, non autem Verſantibus conſtruenda erit, ordinabimus eam hoc modo: Maximum totius Turmæ Iugum medium ex impare faciemus numero: reliqua vtrimque iuga iuxta media interſtitia efficiemus, quemadmodum in Verſantibus ordinauimus fietque Turma ex Iugantibus, non autem Verſantibus.

Ἐὰν δὲ ἡ ἴλη ἐκ ζυγούντων μὲν, μὴ στοιχούντων δὲ γένηται, τάξομεν αὐτὴν οὕτως. τὸ μέσον ὅλης τῆς ἴλης μέγιστον ζυγὸν περιττοῦ ἀριθμοῦ ποιήσομεν, τοὺς δὲ ἐφ' ἑκάτερα ζυγοὺς κατὰ τὰ μέσα διαστήματα ποιήσομεν, ὡς ἐπὶ στοιχούντων ἐτάξαμεν, καὶ γενήσεται ἡ ἴλη ἐκ ζυγούντων μὲν οὐκ ἔτι δὲ στοιχούντων.

Ἴλη ῥομβοειδὴς, ἡ ζυγεῖ μὲν, οὐ στοιχεῖ.

γ
γ γ
γ γ γ
γ γ γ γ
γ γ γ γ γ
γ γ γ γ γ γ
γ γ γ γ γ γ γ
γ γ γ γ γ γ γ γ
γ γ γ γ γ γ γ γ γ
γ γ γ γ γ γ γ γ
γ γ γ γ γ γ γ
γ γ γ γ γ γ
γ γ γ γ γ
γ γ γ γ
γ γ γ
γ γ
γ

Rhombum qui iugat, non verſat.

ΚΕΦ. κ΄.

Περὶ τῆς τῶν ἰλῶν τάξεως, καὶ ὀνομασιῶν, καὶ ἱππέων ἐν ἑκάσταις ἀριθμοῦ.

Τάσσονται δὲ αἱ ἴλαι, ὥσπερ τὰ ψιλὰ, ποτὲ μὲν πρὸς τῆς φάλαγγος, ποτὲ δὲ δεξιῶν καὶ εὐωνύμων, ποτὲ δὲ ὀπίσω τῶν ψιλῶν ἐλάχθησαν. καὶ ἡ μὲν πρώτη ἴλη τῶν ἱππέων ἔστω, ξδ΄, καὶ τὸ μὲν πρῶτον ζυγὸν, ἱππέων ιέ. τὸ δὲ ἑξῆς, ιγ΄. τὸ δὲ μετὰ ταῦτα ἕνδεκα, καὶ ἀεὶ τὰ ἑξῆς ζυγὰ δυσὶ τῷ ἀριθμῷ λειπόμενα μέχρι ἑνός. καὶ ἡ-

CAP. XX.

De ordinatione Turmarum, deq; earundem nominibus, atque Equitum, qui in ſingulis numero.

Statuuntur porro Equitum turmæ quemadmodum Velites, modò ante Phalangem, modò a dextris, & ſiniſtris. Sed nonnunquam etiam poſt velites conſtitutæ ſunt. Sit autem prima Turma equitum LXIV, eiuſque primum Iugum equitum XV, ſecundum XIII, quod ſequitur XI, quæque inde ſequuntur deinceps iuga, ſemper binario minora ſingula, donec ad

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

vnum deuentum ſit. Signum feret is, qui in ſecundo iugo Zygarchæ a læuâ adſtat. Erunt vero omnes ſimul Turmæ numero LXIV, Equites quatuor. M.XCVI. Cæterum duæ Turmæ vocantur, Epilarchia, Equitum CXXVIII: Duæ Epilarchiæ, Tarantiarchia, equitum CCLVI: Duæ Tarantinarchiæ, Hipparchia, Equitum D.XII: Duæ Hipparchiæ, Ephipparchia, equitum MXXIV: Duæ Ephipparchiæ, Telos, equitum bis. M. XLVIII: Duo Tele, epitagma, eqitum quatuor M. XCVI.

μειοφορήσει δὲ ὁ ἐν τῷ δευτέρῳ ζυγῷ παρεστηκὼς ἐκ τῶν εὐωνύμων τῷ ζυγάρχῃ. ἔσονται δὲ αἱ πᾶσαι ἶλαι ξδʹ, ἱππεῖς δὲ τετρακισχίλιοι ἐνενήκοντα ἕξ. Καλοῦνται δὲ αἱ δύο ἶλαι, ἐπιλαρχία, ἱππέων ρκηʹ. αἱ δὲ δύο ἐπιλαρχίαι, ταραντιναρχία, ἱππέων σνϛʹ. αἱ δὲ δύο ταραντιναρχίαι, ἱππαρχία. ἱππέων φιβʹ. αἱ δὲ δύο ἱππαρχίαι, ἐφιππαρχία, ἱππέων ακδʹ. αἱ δὲ δύο ἐφιππαρχίαι, τέλος, ἱππέων βμηʹ. τὰ δὲ δύο τέλη, ἐπίταγμα, ἱππέων τετρακισχιλίων ἐνενήκοντα ἕξ.

CAP. XXI.

Quod ad formas Acierum, earumq; transformationes multum ſtudij, exercitationisq; requiratur.

Sunt igitur iam explicata veterum circa Turmarum ordines inſtituta omnia, qua formâ ſinguli has inſtruxerint, ac quibus de cauſis alij alijs vſi ſint. Debet autem horum traditio non magis eſſe extemporanea, atque eſt negotiorum, in quibus de ſummâ rerum controuertitur. Verum vbi per quotidiana exercitia ſingulas formas quis probârit &, quæ ex illis facilior, vtiliorque ſit, cognôrit, tunc ſeriò in rebus ipſis vſum eius inire demum oportet. Stultum enim eſt, cum deprehendantur homines de rebus minurioribus ſtudioſe anquirere, ac plurimum ambigere, de his non prius exactiſſimum examen inſtituere, ac tum demum ad ipſa cer-

ΚΕΦ. καʹ.

Ὅτι περὶ τὰ σχήματα τῶν τάξεων, καὶ τοὺς αὐτῶν μετασχηματισμοὺς πολλῆς σπουδῆς, καὶ γυμνασίας δεῖται.

Αἱ μὲν οὖν ἐπιβολαὶ τῶν ἀρχαίων περὶ τὰς τάξεις τῶν ἰλῶν δεδηλωμέναι εἰσὶ πᾶσαι, καθ' ὁποίου σχηματισμοῦ ἕκαστοι ταύτας ἔταξαν, καὶ δι' ἃς αἰτίας ἄλλοι ἄλλαις ἐχρήσαντο. δεῖ δὲ ὡς ἐν πράγμασι περὶ τῶν ὅλων διαφέρουσιν οὐκ ἀπεσχεδιασμένην γίνεσθαι τὴν παράδοσιν, ἀλλ' ἐν τοῖς καθημερινοῖς γυμνασίοις ἕκαστον τῶν σχημάτων πολλάκις δοκιμάσαντα, καὶ τὸ εὐχερέστερον, καὶ τὸ ὠφελιμώτερον γνόντα, τότε καὶ ἐπὶ τῆς ἀληθείας χρήσασθαι. εὔηθες γὰρ μὲν τῶν ἐλαττόνων πραγμάτων, ἐπ' ἀκριβὲς τοὺς ἀνθρώπους εὑρίσκεσθαι διαπορουντας πολλὰ, καὶ ἐξετάζοντας, περὶ δὲ τούτων μὴ πρότερον τὴν ἐντελεστάτην βάσανον λαβόντας, τότε πρὸς

τοὺς

τοὺς ἀγῶνας πορεύεσθαι. ἔξεστι μέντοι καὶ μείζονας, καὶ ἐλάσσονας τὰς ἴλας ποιεῖν.

tamina ſe conferre. Eſt vero in cuiuſque arbitrio, Turmas & maiores & minores facere.

ΚΕΦ. κβ΄.

Περὶ τῆς τῶν ἁρμάτων τε, καὶ ἐλεφάντων συντάξεως, καὶ τῶν ἐν ἑκάστοις ὀνομασιῶν.

Περὶ δὲ τῆς τῶν ἁρμάτων συντάξεως, καὶ τῶν ἐλεφάντων εἰ καὶ τὴν χρῆσιν αὐτῶν σπανίζουσαν εὑρίσκομεν, ὅμως πρὸς τὸ τέλειον τῆς γραφῆς τὰς ὀνομασίας ὑποθησόμεθα, αἷς κατεχρήσαντο οἱ πρὸ ἡμῶν. ἐπὶ γὰρ τῆς ζευκτικῆς τὰ δύο ἅρματα, ζυγαρχίαν ἐκάλεσαν. τὰς δὲ δύο ζυγαρχίας, συζυγίαν. τὰς δὲ δύο συζυγίας, ἐπισυζυγίαν. τὰς δὲ δύο ἐπισυζυγίας, ἁρματαρχίαν. τὰς δὲ δύο ἁρματαρχίας, κέρας. τὰ δὲ δύο κέρατα, φάλαγγα. ἔξεστι δὲ πλείοσι φάλαγξιν ἁρμάτων χρῆσθαι ταῖς αὐταῖς ὀνομασίαις καθ' ἑκάστην φάλαγγα συγχρωμένοις. τοῖς δ' ἅρμασι, οἱ μὲν ψιλοῖς κατεχρήσαντο, οἱ δὲ δρεπανοφόρα κατεσκεύασαν. ἐπὶ δὲ τῶν ἐλεφάντων, ὁ μὲν ἑνὸς ἐλέφαντος ἄρχων, ζώαρχος καλεῖται· ὁ δὲ τῶν δύο, θήραρχος, καὶ τὸ σύστημα, θηραρχία. ὁ δὲ τῶν δ΄, ἐπιθηράρχης, καὶ τὸ σύστημα, ἐλεφανταρχία. ὁ δὲ τῶν η΄, ἰλάρχης, καὶ τὸ σύστημα, ἰλαρχία. ὁ δὲ τῶν ιϛ΄, ἐλεφαντάρχης, καὶ τὸ σύστημα ἐλεφανταρχία. ὁ δὲ λβ΄, κερατάρχης, καὶ τὸ σύστημα, κερatarχία. τὸ δὲ ἐκ τῶν ξδ΄ συνεστηκός, φάλαγγα ὀνομά-

CAP. XXII.

De Curruum atq; Elephantorum Conſtructione, deque ſingulorum vſitatis olim appellationibus.

DE Cururum, atq; Elphantorum conſtructione quáquam rarum eorum inueniamus vſum: tamen, vt ne quid huic ſcripto deſit, appellationes ſubiungemus, quibus autores ante nos in ijs vſi fuere. In coniuuctione curruum, quam ζευκτικὴν vocabant, duos currus, Zygarchiam appellabant: Duas Zygarchias, Syzygiam: Duas Syzygias, Epiſyzygiam: Duas Epiſyzygias, Harmatarchiã: Duas Harmatarchias, Ceras: duo Cerata, Phalangem. Licet autem pluribus curruum Phalangibus vti, atque eadem nomina in quaque Phalange cum iſtis vſurpare. Currubus vero alij Leuibus vſi, alij Falcatos confecere. In Elephãtorum ordinationibus, qui vni præeſt Elephanto, Zoarchus vocatur: qui duobus, Therarchus, ac Syſtema eorũ, Therarchia: qui IV, Epitherarcha, ac eorum Syſtema Epitherarchia: qui VIII, Ilarcha, ac eorum ſyſtema, Ilarchia: qui XVI, Elephantarcha, ac Syſtema eorum, Elephantarchia: qui XXXII, Ceratarcha, eorumque Syſtema, Ceratarchia: quæ vero e LXIV cõſtat Elephantis, eam, Elephantorum

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Phalangem nominamus. ac ſi quis cornuum præfecto nomen velit imponere, Phalangarcha dicatur.

Cap. XXIII.

De quibusdam nominibus ad Formarum motiones vtilibus cum in Armorum exercitijs, tum ipſis certaminibus.

Species igitur copiarum, quæ perfectum exercitum conſtituunt, ac nomina, quæ ſingulis eius agminibus impoſita ſunt, in hunc modum ſe habent. Quibus conſideratis vtile deinceps fuerit, de nominibus quibuſdam loqui, vt, cum Imperator aliquid fieri præceperit, aſſuefacti milites in armorum exercitiis tum vocabulis, tum formarum motionibus facilè imperata facere valeant. Eſt, quod dicitur, Inclinatio, atque ea vel in haſtam, vel in clypeum. Eſt etiam, quod Metabole dicitur, & Epiſtrophe, & Anaſtrophe, & Periſpaſmus, Iugare, & Verſare: & In rectum reddi: & Euoluere: & Duplicare: item Epagoge: & dextra Paragoge: & ſiniſtra Paragoge: & transuerſa Phalanx: & recta Phalanx: & obliqua Phalanx: & Entaxis: & Hypotaxis: & Epitaxis: & Proſtaxis. Quid autem ſingula iſtorum nominum deſignent, breuiter explicabimus. nec interim ignoro, apud omnes Tacticos præcepta non eſſe iiſdem nominibus expoſita.

ζομεν ἐλεφαντων. καὶ ἄν τις τὸν τῶν κεράτων ἡγούμενον βούληται προσονομάζειν φαλαγγάρχην.

ΚΕΦ. κγ'.

Περὶ τινῶν ὀνομάτων, ὧν πρὸς τὰς τῶν σχημάτων κινήσεις ἔν τε ταῖς ἐξοπλισίαις, καὶ αὐτοῖς ἀγῶσιν, ἡ χρῆσις σύμφορος.

ΤΑ μὲν οὖν εἴδη τῆς τελείας δυνάμεως, καὶ τὰ ὀνόματα τῶν ἐν τούτοις συστημάτων τοῦτον ἔχει τὸν τρόπον. ὧν τεθεωρημένων ἑξῆς περὶ τῶν ὀνομάτων χρήσιμον εἰπεῖν, ὅπως ὅταν ὁ στρατηγὸς παραγγείλῃ τι γενέσθαι συνεθισθέντες ἐν ταῖς ἐξοπλισίαις τοῖς τε ὀνόμασι, καὶ ταῖς τῶν σχημάτων κινήσεσι ῥᾳδίως τὰ προστασσόμενα ποιεῖν δύνωνται. λέγεται δὲ τὸ μὲν, Κλίσις. καὶ τῆς κλίσεως, ἡ μὲν ἐπὶ δόρυ ἡ δ' ἐπ' ἀσπίδα. λέγεται δέ τις καὶ Μεταβολὴ, καὶ Ἐπιστροφὴ, καὶ Ἀναστροφὴ, καὶ Περισπασμὸς, στοιχεῖν τε καὶ ζυγεῖν· καὶ ἐπ' ὀρθὸν ἀποδοῦναι· καὶ ἐξελίσσειν καὶ διπλασιάζειν· λέγεται δὲ ἐπαγωγή· καὶ δεξιὰ παραγωγή· καὶ εὐώνυμος παραγωγή· καὶ πλαγία φάλαγξ· καὶ ὀρθία φάλαγξ, ἢ λοξὴ φάλαγξ καὶ παρεμβολή· καὶ πρόταξις· καὶ ἔνταξις· καὶ ὑπόταξις καὶ ἐπίταξις· καὶ πρόσταξις. ἑκάστου δὲ ὀνόματος τὴν σημασίαν διὰ συντόμου δηλώσομεν. οὐκ ἀγνοῶ δὲ, ὅτι παρὰ πᾶσι τοῖς τακτικοῖς τὰ παραγγέλματα ταῖς αὐταῖς ὀνομασίαις δεδήλωται.

ΚΕΦ.

ΚΕΦ. κδʹ.

Περὶ κλίσεως, καὶ μεταβολῆς, ἑκατέρας τῆς τε ἐπὶ δόρυ, καὶ τῆς ἐπ' ἀσπίδα, ἢ ἀπὸ πολεμίων, καὶ ἐπὶ πολεμίους. περὶ Ἐπιστροφῆς, Ἀναστροφῆς, Περισπασμοῦ, καὶ Ἐκπερισπασμοῦ.


Κλίσις μὲν οὖν ἐστὶ, ἡ κατ' ἄνδρα κίνησις, ἢ ἐπὶ δόρυ ἐπιστρέψαντος τοῦ ὁπλίτου, τουτέστιν, ἐπὶ τὰ δεξιὰ μέρη, ἢ ἐπ' ἀσπίδα, τουτέστιν, ἐπὶ τὰ εὐώνυμα μέρη. ὅπερ γίνεται εὔχρηστον πρὸς τὰς ἐκ τῶν πλαγίων ἐπιφανείας τῶν πολεμίων ὑπερκεράσεως χάριν, ἢ ἀντιπορείας, καὶ ἑτέρων χρειῶν, αἳ καθ' ἕκαστον πρᾶγμα δηλωθήσονται. αἱ δὲ δύο ἐπὶ τὸ αὐτὸ γινόμεναι κλίσεις ἐπὶ τὴν κατὰ νώτου ἐπιφάνειαν τὴν ὄψιν τοῦ ὁπλίτου μετατιθέασι καὶ τὸ τοιοῦτο, καλεῖται μεταβολή. γίνεται δὲ καὶ αὕτη, ἣ μὲν ἐπὶ δόρυ, ἣ δὲ ἐπ' ἀσπίδα.

CAP. XXIV.

De Inclinatione, ac Immutatione, vtrâq; vel in Haſtam, vel in Clypeum, ſiue ab hoſte, vel in hoſtem. De Conuerſione, Reuerſione, Periſpaſmo, & Ecperiſpaſmo.

CLiſis igitur, ſeu Inclinatio, eſt motus, qui fit viritim, aut In haſtam ſe conuertente milite, hoc eſt, in dextras partes, aut In clypeum, h.e. in ſiniſtras. quod facilè, atque vtiliter fit, cum hoſtes ab alterutro latere apparent, vt vel altero cornu ſuperiores ſint, vel vt in itinere aduerſum ijs eatur, vel alios ob vſus, qui in ſingulis iſtarum rerum exponentur. Duæ quę fiunt eandem verſus partem inclinationes aſpectum armati in contrarium tranſponunt, h.e. a tergo atque illud Metabole ſeu Immutatio vocatur. Fitque & hæc vel In haſtam, vel In clypeum.

Prima ante inclinationem ſtatio militis.



In clypeum prima Inclinatio.

In haſtam prima inclinatio.


In clypeum ſecunda Inclinatio, quæ & Immutatio dicitur.

In haſtam ſecunda inclinatio, quæ etiam Immutatio dicitur.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Eſt enim Immutatio, Inuerſio, quæ fit viritim in auerſam partem. Quodque Immutatio eſt in ſingulis armatis, id in toto agmine Periſpaſmus. Sunt autem duæ Immutationum differentiæ, ab Hoſtibus vna, in Hoſtes altera. Definitur autem Immutatio, tranſlatio aſpectus prioris in aſpectum poſteriorem, vel ab hoc in contrarium. Ab Hoſtibus fit Immutatio, bis in Haſtam inclinantibus; in Hoſtes, bis in clypeum.

Μεταβολὴ γάρ ἐστιν, ἡ εἰς τὰ ὀπίσω κατ᾽ ἄνδρα στροφή. ὅπερ δέ ἐστι καθ᾽ ἕνα ὁπλίτην ἡ μεταβολὴ, ἐστὶ καὶ εἰς τὸ πᾶν σύνταγμα ὁ περισπασμός. δύο δέ εἰσι διαφοραὶ μεταβολῶν. ἡ μὲν, ἀπὸ τῶν πολεμίων, ἡ δὲ ἐπὶ τοὺς πολεμίους. ὅρος δέ ἐστι τῆς μεταβολῆς, μετάληψις τῆς προϋπαρχούσης ἐπιφανείας εἰς τὴν κατ᾽ οὐρὰν ἐπιφάνειαν, ἢ ἀπὸ ταύτης ἐπὶ τὴν ἐναντίαν. καὶ ἡ μὲν ἀπὸ τῶν πολεμίων μεταβολὴ, δὶς ἐπὶ δόρυ κλινάντων, γίνεται, ἡ δ᾽ ἐπὶ τοὺς πολεμίους, δὶς ἐπ᾽ ἀσπίδα.



Immutatio ab hoſte, bis in haſtam inclinantibus militibus.

Immutatio in hoſtem, bis in clypeum inclinantibus militibus.

Epiſtrophe, ſeu Conuerſio eſt, cum denſato agmine, quod viritim aut Inclinationem, aut Immutationem propter denſationem facere non poteſt, totum agmen coniunctim, tanquam nauigium, atque vnum corpus transpoſitum, manent tamen ordine integro, conuertitur. cumque in haſtam fit Conuerſio, præcipimus, extremum ad dextram Lochagum immotum ſtare inſtar ianuæ cardinem; reliquum vero totum agmen, tanquam ianuam, circa Lochagum iſtum circumductum Cõuerſionem facere. ſimiliter & in clypeum fit Conuerſio. Vel, Conuerſio eſt, cum denſato ag-

Ἐπιστροφὴ δ᾽ ἐστιν, ὅταν πεπυκνωμένου ὄντος τοῦ συντάγματος, καὶ μὴ δυναμένου κατ᾽ ἄνδρα ἢ κλίσιν, ἢ μεταβολὴν ποιήσασθαι διὰ τὴν πύκνωσιν, ἐπιστροφῇ ὅλον τὸ σύνταγμα ἡνωμένως, ὥσπερ πλοῖον, καὶ ἓν σῶμα μετακινούμενον, ἀδιαλύτου μενούσης τῆς τάξεως. καὶ ὅτι μὲν ἐπὶ δόρυ στρέφεται, παραγγέλλομεν τὸν τῆς δεξιᾶς ἄκρας λοχαγὸν ἱστάναι ἀμετακίνητον, οἷον στρόφιγγα θύρας, τὸ δὲ λοιπὸν ἅπαν σύνταγμα περιερχόμενον, ὥσπερ θύραν, τὸν τοιοῦτον λοχαγὸν ποιεῖσθαι τὴν ἐπιστροφήν. οὕτω δὲ καὶ ἐπ᾽ ἀσπίδα ἡ ἐπιστροφὴ γίνεται. ἀποστροφή ἐστιν, ὅταν πυκνώσαντες τὰ


Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

συντάγματα κατὰ παραστάτην καὶ ἐπιστάτην ὅλον τὸ σύνταγμα, ὡς ἑνὸς ἀνδρὸς σῶμα, ἢ ἐπὶ δόρυ, ἢ ἐπ' ἀσπίδα κλίνωμεν, ὡσὰν περὶ κέντρον τὸν πρῶτον λοχαγὸν ὅλου τοῦ τάγματος περιενεχθέντος, καὶ μεταβαλόντος τόπον μὲν τὸν ἔμπροσθεν ἐπιφάνειαν δὲ τὴν ἐκ δεξιῶν, διαμενόντων ἑκάστων τῶν ἐπιστατῶν καὶ παραστατῶν. ὅπερ πῶς γίνεται, δηλώσομεν.

Ἀναστροφὴ δέ ἐστιν, ἀποκατάστασις ἐπιστροφῆς εἰς ὃν προκατεῖχε τὸ σύνταγμα τόπον πεπυκνωμένον πρὸ τοῦ γενέσθαι ταύτην τὴν ἐπιστροφήν.

mine ſecundum Paraſtatas, atque Epiſtatas totum agmen, tanquam vnius viri corpus, aut in haſtam inclinamus, aut in Clypeum, circa primũ Lochagum, tanquam centrum, toto agmine circumducto, quod locum quidem priorem, ſed aſpectum a dextris accipiat, permanentibus ſingulis Paraſtatis, atque Epiſtatis quod quo pacto fiat, declarabimus infra.

Anaſtrophe, ſeu Reuerſio eſt, Conuerſionis reſtitutio in locum eundem, quem agmen denſatum tenebat, priuſquam hæc Conuerſio fieret.



Prima Conuerſio in haſtam.


Prima ſtatio aciei

Secunda Conuerſio ſimiliter.

Περισπασμὸς δέ ἐστιν, ἐκ δυσὶν ἐπιστροφοῖν τοῦ τάγματος κίνησις, ὥστε μεταλαμβάνειν τὸν ὀπίσω τόπον.


Periſpaſmus, ſeu Inflexio eſt, motio agminis e duabus conuerſionibus, ita vt priorem locum cum poſteriore commutet.

Prima in clypeum Conuerſio.



Ecperiſpaſmus, ſeu Circumflexio eſt, e tribus continuis agminis conuerſionibus motio, ita vt ſi in haſtam fiat, aſpectus translatus ſit in ſiniſtram, ſi in Clypeum, in dextram.

Ἐκπερισπασμὸς δέ ἐστιν, ἡ ἐκ τριῶν ἐπιστροφῶν τοῦ τάγματος κίνησις. ὥστε μεταλαμβάνειν, ἐὰν ἐπὶ δόρυ γένηται, τὴν ἐξ ἀριστερῶν ἐπιφάνειαν, ἐὰν δ᾽ ἐπ᾽ ἀσπίδα, τὴν ἐκ δεξιῶν.



KE ϕ.

ΚΕΦ. κε΄.

Στοιχεῖν τι, καὶ ζυγεῖν, καὶ ἐπ᾽ ὀρθὸν ἀποδοῦναι.

Στοιχεῖν δὲ λέγεται, ἕκαστον ἄνδρα ἐν τῷ ἑαυτοῦ λόχῳ, τὸ ἐπ᾽ εὐθείας εἶναι τῷ λοχαγῷ, καὶ τῷ οὐραγῷ, φυλάσσοντας τὰ ἴσα ἀπ᾽ ἀλλήλων διαστήματα. ζυγεῖν δὲ, τὸ ἐπ᾽ εὐθείας εἶναι κατὰ μῆκος τὸν ἐν λόχῳ, τῷ ζυγοῦντι αὐτῷ, οἱ λοχαγοὶ πάντες. τῷ δὲ τοῦ λοχαγοῦ ἐπιστάτῃ, οἱ τῶν ἄλλων λοχαγῶν ἐπιστάται καὶ κατὰ τὸ ἑξῆς οὕτως. ἐπ᾽ ὀρθὸν δὲ ἀποδοῦναι ἐστὶ, τὸ εἰς τὴν προκαθεστῶσαν ἀπ᾽ ἀρχῆς τοῦ ὁπλίτου ἐπιφάνειαν ἀποκαταστῆσαι τὴν ὄψιν. οἷον ἐάν τε ἐπὶ τοὺς πολεμίους τεταγμένος κελευσθῇ ἐπὶ δόρυ κλῖναι, εἶτα παραγγείλῃ εἰς ὀρθὸν ἀποκαταστῆσαι, δεήσει πάλιν ἐπὶ τοὺς πολεμίους τετράφθαι.

CAP. XXV.

Verſare quid, & Iugare. & quid In rectum reſtitui.

VErſare dicitur, cum ſinguli viri in ſuâ Decuriâ rectâ ſerie conſiſtunt, a Lochago, & Tergiduce æqualia inter ſe ſpatia ſeruantes. Iugare vero, cum recto ordine in Longitudine conſiſtunt ij, qui ſunt in Decurijs. Iugant ergo omnes Lochagi, ac primi Lochagi Epiſtatæ aliorum Lochagorum Epiſtatæ. ac ſic deinceps. In rectum reddere eſt, faciem armati in aſpectum reſtituere, quem primò tenuit. Vt, ſi armatus hoſtibus oppoſitus iubeatur, In haſtam inclinare: ac deinde præcipiatur, In rectum ſe reſtituere, debebit is rurſum in hoſtes ſe conuertere.

ΚΕΦ. κϛ΄.

Περὶ Ἐξελιγμῶν, ὅτι δύο αὐτῶν γένη, τὸ μὲν κατὰ λόχους, τὸ δὲ κατὰ ζυγά. περὶ διαφορᾶς αὐτῶν, καθ᾽ ἣν ὁ μὲν Μακεδὼν, ὁ δὲ Λάκων, ὁ δὲ Χορεῖος.

Ἐξελιγμῶν δέ ἐστι γένη δύο, τὸ μὲν κατὰ λόχους, τὸ δὲ κατὰ ζυγούς. εἴδη δὲ αὐτῶν ἑκάστου τρία. καλεῖται γὰρ, ὁ μὲν Μακεδὼν, ὁ δὲ Λάκων, ὁ δὲ Χορεῖος. ὁ δ᾽ αὐτὸς Περσικός. Μακεδὼν μὲν οὖν ἐστιν, ὁ μεταλαμβάνων

CAP. XXVI.

De Euolutionibus, quod earum duo ſint genera: vnum per Verſus, per Iuga alterum. de earum differentiâ, quâ alia Macedonica, alia Laconica, alia Chorea dicitur.

EVolutionum duo ſunt genera: vnum per verſus, per iuga alterum. Vtriusque tres ſunt ſpecies. Vocatur enim alia Macedonica, alia Laconica, alia Choréa, quæ etiam Perſica dicitur. Eſt autem Macedonica, quæ priorem Phalangis locum transfert,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ac frontem in contrarium deducit aſpectum. Laconica eſt, quæ Phalangis poſteriorem locum accipit, ac aſpectum ſimiliter poſteriorem pro priore. Perſica, quæ & Cretica, & Chorea, hæc eundem Phalangis locum retinet, ſingulis particulatim armatis pro locis, quæ prius tenebant, alia occupantibus: vt, Lochago in Tergiductoris locum ſe transferente, ac pro aſpectu aduerſo auerſum faciente. Euolutiones per iuga fiunt, cum ad intermedias Phalangum ſectiones cornua quis velit ſtatuere. & vice verſâ ſecturæ proximos in locum cornuum, vt partes mediæ corroborentur ac ſimiliter dextræ ſiniſtris, ac ſiniſtræ dextris. Qui cauent, cum in propinquo ſunt hoſtes, euolutiones in maioribus partibus fieri, ij in ſingulis agminibus eas faciunt.

τῆς φάλαγγος τὸν ἔμπροσθεν τόπον, ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας, τὴν ὄπισθεν. Λάκων δὲ, ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ὀπίσω τόπον, ὁμοίως δὲ ἀντὶ τῆς ἔμπροσθεν ἐπιφανείας, τὴν ὄπισθεν. ὁ δὲ Περσικὸς, καὶ Κρητικὸς, καὶ χορεῖος οὗτος δὲ τὸν αὐτὸν τόπον ἐπέχει τῆς φάλαγγος τῶν κατὰ μέρος ὁπλιτῶν, ἀνθ' ὧν προκατεῖχον τούτων ἑτέρους μεταλαμβανόντων, τοῦ μὲν λοχαγοῦ τὸν τοῦ οὐραγοῦ, ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας, τὴν ὄπισθεν. οἱ δὲ κατὰ ζυγοὺς ἐξελιγμοὶ γίνονται, ὅταν ἐπὶ τῶν ἀποτομῶν βούληταί τις τὰ κέρατα καθιστάνειν, τὰς δὲ ἀποτομὰς ἐπὶ τῶν κεράτων, χάριν τοῦ τὰ μέσα ἰσχυροποιεῖσθαι. καὶ ὁμοίως τὰ δεξιὰ τοῖς εὐωνύμοις, καὶ τὰ εὐώνυμα τοῖς δεξιοῖς. οἱ δὲ φυλασσόμενοι κατὰ μείζονα μέρη τοὺς ἐξελιγμοὺς ποιεῖσθαι ἐγγὺς ὄντων τῶν πολεμίων κατὰ τὰ συντάγματα.

CAP. XXVII.

De modis, quibus Euolutiones fiunt.

QVibus vero modis fieri Euolutiones oporteat, demonſtrabimus. Euolutio, quæ Macedonica dicitur, fit, cum Lochagus immutatur, reliqui vero omnes in Clypeum ſuccedendo eum cum Tergiductore ſequuntur, ac redeuntes in eundē, quem prius Phalanx tenuerat, locum, ſeruatis ordinibus ſubſiſtunt, donec Tergiductor ipſe reſtitutus ſit. quamobrem fugæ ſpeciem hoſtibus pone

ΚΕΦ. κζ'.

Περὶ τρόπων, καθ' οὓς οἱ ἐξελιγμοὶ γίνονται.

ΤΟὺς δὲ τρόπους τῶν ἐξελιγμῶν ὡς δεῖ γίνεσθαι, ἀποδείξομεν. Μακεδὼν λέγεται, ὅταν ὁ λοχαγὸς μεταβάλληται, οἱ δὲ λοιποὶ πάντες ἀντιπαρέλθωσιν αὐτῷ ἐπ' ἀσπίδα σὺν τῷ οὐραγῷ καὶ πρὸς ἓν εἶχεν ἔμπροσθεν ἡ φάλαγξ τόπον τὸ πρότερον ἀπελθόντες τῶσι συντεταγμένως εἰς τὴν τοῦ λοχαγοῦ αὐτοῦ ἀποκατάστασιν. διὸ καὶ τὴν φυγῆν φαντασίαν παραδείκνυσι τοῖς ὄπισθεν ἐπιφανεῖσι πολεμίοις. ὁ μὲν οὖν κατὰ στίχον ἐξελιγ-

ἐξελιγμὸς Μακεδὼν προσαγορευόμενος γίνεται, ὅταν ὁ λοχαγὸς μεταβάλληται, οἱ δὲ ὀπίσω ἐκ δόρατος παραπορευόμενοι ἐφεξῆς ἀλλήλων ἵστανται. ὁ δὲ Λάκων γίνεται, ὅταν ὁ οὐραγὸς μεταβάλληται, οἱ δὲ λοιποὶ πάντες καὶ αὐτοὶ μεταβαλλόμενοι, καὶ ἀντιπαρελθόντες μετὰ τοῦ λοχαγοῦ ταχθῶσιν εἰς ὃν πρότερον ἡ φάλαγξ τόπον ὄπισθεν εἶχεν. διὸ ἐπιδιώξεως φαντασίαν ἐμποιεῖ τοῖς ἐπιφανεῖσι πολεμίοις. Λάκων δὲ αὖ, ὅταν ὁ λοχαγὸς μεταβαλλόμενος ἐκ δόρατος ὅλον τὸν λόχον μεταλλάξῃ εἰς ἄλλον αὐτῷ ἴσον τόπον, οἱ δὲ λοιποὶ ἀκολουθοῦντες ἐφεξῆς αὐτῷ τάσσονται· ἢ, ὅταν μὲν ὁ οὐραγὸς μεταβάλληται, ὁ δὲ ὀπίσω αὐτοῦ τεταγμένος ἐκ δόρατος τοῦ οὐραγοῦ παραπορευόμενος προτάσσεται τοῦ οὐραγοῦ, καὶ οἱ λοιποὶ ὁμοίως ἀκολουθοῦντες ἄλλος πρὸ ἄλλου τάσσηται, ἕως ἂν ὁ λοχαγὸς πρωτοστατήσῃ. ὁ δὲ χορεῖος γίνεται, ὅταν ὁ λοχαγὸς μεταβαλλόμενος ἐκ δόρατος προάγῃ τοῦ λόχου, οἱ δὲ λοιποὶ ἐπακολουθῶσιν, ἕως ἂν ὁ λοχαγὸς σχῇ τὸν τοῦ οὐραγοῦ τόπον, ὁ δὲ οὐραγὸς τὸν τοῦ λοχαγοῦ. καὶ οὗτοι μὲν κατὰ λόχους γίνονται. τῷ αὐτῷ τρόπῳ καὶ οἱ κατὰ ζυγὰ γίνονται, ἐάν τε κατὰ τάγμα ἐξελίσσειν τις βούληται, ὥστε ὁποιονδηποτοῦν τάγμα, ἢ τὸν ἐν αὐτῇ τῇ βάσει τόπον κατέχον ἐξελίσσει, ἢ τὸν τοῦ ἐν δεξιᾷ τάγματος μεταλάβῃ τόπον, ἢ τὸν τοῦ ἐξ εὐωνύμων. οὐδὲν γὰρ τῶν προειρημένων διοίσει.

apparentibus oſtendit. Macedonica ergo per verſum euolutio fit, cum Lochagus immutatur, quiquę pone ſequuntur in haſtam conuerſi ſuccedentes ordini inter ſe gradum ſiſtunt. Laconica fit, cum Tergidux immutatur, ac reliqui etiam omnes immutati, ac ſuccedentes cum Lochago conſtituuntur eodem loco, quem prius Phalanx poſteriorem tenuit. Vnde hæc perſecutionis ſpeciem hoſtibus pone apparentibus exhibet. Vel rurſus, Laconica eſt, cum in haſtam immutatus Lochagus totam decuriam in alium ipſi æqualem locum transmutat, reliqui autem ſequentes ordine poſt eum ſtatuuntur. Vel, cum Tergidux immutatur, ac qui pone eum conſtitutus eſt Tergiduci ex haſta ſuccedendo præteriens ante Tergiducem conſtituitur: reliqui vero ſimiliter ſubſequentes, alius ante alium ſtatuitur, donec Lochagus primum locum occupet.

Choréa euolutio fit, cum immutatus Lochagus ab haſtâ decuriam præcedit, reliqui verò ſebſequuntur, donec Lochagus Tergiducis locum, Tergidux contra Lochagi locum habeat, atque hæ Euolutiones per Decurias fiunt. Eodem modo etiam per iuga Euolutiones fiunt, vel, ſi etiam agminatim euoluere quis velit, ita vt agmen qualecunque aut e loco, quem in primâ ſtatione tenuit, euoluat, aut in locum transeat agminis dextri, vel ſiniſtri. nihil enim a prædictis differet.

CAP. XXVIII.

De Duplicationibus, quod earum duo ſint genera, vel ſecundum Iuga, vel ſecundum Altitudinem. quomodo vtrumque genus duplicetur, vel Numero, vel Loco. & vt rurſum reſtituatur.

DVplicationum duo ſunt genera. aut enim in Longitudine, aut in Altitudine duplicatur. atque horum quodq; aut Numero fit, aut loco. Numero duplicatur Longitudo, ſi quæ antea erat M.XXIV decuriarum, eam bis M.XLVIII facere velimus, interiectis eodem Longitudinis loco ex Altitudine epiſtatis in armatorum interualla. Fit vero hoc, cum denſare Longitudinem voluerimus. Reſtituere cum placebit, euoluere eos iubebimus, qui poſt impoſiti ſunt Longitudini, in eadem loca, quæ prius tenebant. Sed nonnulli duplicationes huiusmodi improbant, & maxime cum in propinquo ſunt hoſtes, ac potius velites, atque equites ad vtrumque cornu extenſione factâ collocantes, ita duplicationis ſpeciem fieri præcipiunt, abſque duplicatione phalangis, quæ aliàs ita conſtrui ſolet. Duplicatur autem Longitudo Phalangis, cum vel ſuperare altero cornu hoſtes conſilium eſt, vel ab ijs altero cornu ſuperatum ſe iri exſpectatur. Altitudo duplicatur, cum primæ Decuriæ ſecunda imponitur, ita vt ſecundæ Decuriæ Lochagus poſt primæ Decuriæ Lochagum collocetur;

ΚΕΦ. κη΄.

Περὶ Διπλασιασμῶν, ὅτι δύο αὐτῶν γένη, ἤτοι κατὰ ζυγά, ἢ κατὰ βάθος. πῶς καθ᾽ ἑκάτερον τὸ γένος ἡ φάλαγξ διπλασιάζεται, ἢ τῷ ἀριθμῷ, ἢ τῷ τόπῳ. καὶ πῶς πάλιν ἀποκαθίσταται.

ΔΙπλασιασμῶν δέ ἐστι γένη δύο, ἤτοι κατὰ ζυγά, ἢ κατὰ βάθος. τούτων δὲ ἕκαστον, ἢ τῷ ἀριθμῷ διπλασιάζεται, ἢ τῷ τόπῳ. ἀριθμῷ μὲν γὰρ διπλασιάζεται τὸ μῆκος, ἐὰν τὸ χιλίων κδ΄ λόχων, βμή ποιῆσαι βουλόμεθα ἐν τῷ αὐτῷ τῷ τόπῳ τοῦ μήκους παρεμβάλλοντες εἰς τὰ μεταξὺ τῶν ὁπλιτῶν διαστήματα ἐκ τῶν ἐν τῷ βάθει ἐπιστατῶν. τοῦτο δὲ γίνεται, ὅταν πυκνῶσαι τὸ μῆκος βουληθῶμεν. ἀποκαταστῆσαι δὲ ὅταν βουληθῶμεν, παραγγελοῦμεν ἐξελίσσειν τοὺς μεταταγμένους εἰς οὓς προεῖχον τόπους. ἔνιοι δὲ τοὺς τοιούτους διπλασιασμοὺς ἀποδοκιμάζουσι, καὶ μάλιστα ἐγγὺς ὄντων τῶν πολεμίων. τοὺς δὲ ψιλοὺς ἐφ᾽ ἑκάτερα τῶν κεράτων ἐπεκτείνοντες, καὶ ὁμοίως τοὺς ἱππέας, τὴν ὄψιν τοῦ διπλασιασμοῦ οὕτως γίνεσθαι παραγγέλλουσι, χωρὶς διπλασιασμοῦ τῆς φάλαγγος οὕτω συντασσομένης. διπλασιάζεται δὲ τὸ μῆκος τῆς φάλαγγος, ὅταν ἤτοι ὑπερκεράσαι τοὺς πολεμίους βούλονται, ἢ αὐτοὶ ὑπερκερασθῆναι προσδοκῶσι. τὸ δὲ βάθος διπλασιάζεται, τοῦ δευτέρου λόχου τῷ πρώτῳ ἐπιτασσομένου, ὥστε τὸν τοῦ δευτέρου λόχου λοχαγὸν ὀπίσω τάσσεσθαι ἐν τῷ πρώτῳ λόχῳ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

λόχῳ λοχαγοῦ. τὸν δὲ ἐν τῷ δευτέρῳ δεύτερον τοῦ πρώτου λόχου τέταρτον ταχθῆναι. τὸν δὲ τοῦ δευτέρου γ΄ τοῦ πρώτου λόχου ϛ΄ ταχθῆναι. καὶ οὕτως κατὰ τὸ ἑξῆς, ὡς ἂν ὅλος ὁ δεύτερος λόχος κατὰ τὸν πρῶτον ταχθῇ. καὶ ὁμοίως ὁ τέταρτος λόχος εἰς τὸν τρίτον, καὶ πάντες οἱ ἄρτιοι λόχοι εἰς τοὺς περιττούς. καὶ οὗτος μὲν ὁ διπλασιασμὸς γίνεται, ἐὰν ἐξελιγμὸς γένηται, ἤτοι τῶν παρατεθέντων ἐξελιξάντων εἰς τὸν ὀπίσω τόπον ἀπὸ τοῦ ἔγγιστα τῷ οὐραγῷ παρατεθέντος, καὶ τῶν ἄλλων τῶν ὁμοίως παρατεθέντων ἐπακολουθούντων, ἢ καὶ διαμένοντος τοῦ ἐξ ἀρχῆς ἀριθμοῦ τοῦ στίχου, οἱ ἡμίσεις ἐξελίξαντες τὸν τοῦ βάθους τόπον διπλασιάζωσιν. ἀποκαταστῆσαι δὲ ὅταν βουληθῶμεν, εἰς τὰς προούσας τάξεις τοὺς ἐπεντεταγμένους ἀνακαλεσόμεθα εἰς τοὺς ἰδίους λόχους.

quique in ſecundâ Decuriâ ſecundus eſt, quartus in primâ Decuriâ ponatur: & qui ſecundæ tertius eſt, ſextus in primâ ſit decuriâ; atque ita deinceps, donec tota ſecunda decuria primæ ſit inſerta: ac ſimiliter quarta decuria tertiæ, atque omnes decuriæ tertiæ, atque omnes decuriæ pares imparibus. Fitque hæc Duplicatio, ſi per euolutionem aut iuxta poſiti euoluant in locum poſteriorem ab eo, qui proximè Tergiduci adſtat, atque alij, qui eodem modo adiuncti ſunt, conſequantur: aut manente verſus numero, qui ab initio erat, dimidia eius pars euoluens locum Altitudinis duplicet. Cum vero in ordines priores reſtituere volumus, iſtos poſt impoſitos ad proprias decurias reuocabimus.

ΚΕΦ. κθ΄.

Περὶ φάλαγγος πλαγίας, ὀρθίας, καὶ λοξῆς.

Πλαγία δέ ἐστι φάλαγξ, ἥτις ἔχει τὸ μῆκος τοῦ βάθους πολλαπλάσιον. ὀρθία δὲ, ὅταν ἐπὶ κέρας πορεύηται πολλαπλάσιον ἔχουσα τὸ βάθος τοῦ μήκους. καθόλου δὲ παραμήκες λέγεται πρᾶγμα, ὃ ἂν τὸ μῆκος ἔχῃ πλεῖον τοῦ βάθους. ὄρθιον δὲ, ὃ ἂν τοῦ μήκους τὸ βάθος. ὡσαύτως δὲ καὶ φάλαγξ. λοξὴ δὲ, ἡ τὸ μὲν κέρας, ὁπότερον αὐ-

Cap. XXIX.

De Phalange Transuerſâ, Rectâ, & Obliquâ.

TRanſuerſa Phalanx eſt, quæ Longitudinem Altitudine multo maiorem habet. Recta vero, cum rectà per cornu progreditur Altitudinem Longitudine multo maiorem obtinens. Dicitur autem in omnibus oblongum, quidquid Longitudinem Altitudine maiorem habet. Rectum, quidquid Altitudinem Longitudine. Eodem modo & Phalanx. At obliqua dicitur Phalanx, quæ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

e cornubus alterutrum, quodcumque viſum fuerit hoſtibus proximè obijcit, in eoque certamen facit, alterum, quaſi ſubſidium aliquo interuallo detinet, euentum exſpectans.

προαιρῆται, πλησίον τῶν πολεμίων ἔχουσα, καὶ ἐν αὐτῷ τὸν ἀγῶνα ποιουμένη, τὸ δὲ ἕτερον ἐν ἀποστάσει δι᾽ ὑπομονῆς ἔχουσα.

Cap. XXX.

De Interiectione, Præpoſitione, Poſtpoſitione, Adpoſitione, Impoſitione, & Subiunctione.

PArembole ſeu Inſertio eſt, cum in præpoſitorum quorundam ſpatijs intermedijs e poſtpoſitis collocantur cum illis directè. Protaxis, ſeu Præpoſitio dicitur, quia velites armatorum Phalangem præcedunt, quemadmodum & Lochagus dicitur Proſtata, quod ante ſtet. Ita ſi ijs ijdem poſtponantur, id Epitaxis ſeu Poſtpoſitio vocatur. vt & Epiſtata, quod pone ſtet. Proſtaxis, ſeu Adpoſitio eſt, cum ab vtràque agminis parte, vel alterâ tantum, aliqua pars adiungitur eodem cum Phalange ſpectans. Talis acies, Adpoſitio vocatur. Entaxis, ſeu Impoſitio eſt, ſi quis velites cupiat in medijs Phalangis interuallis viritim collocare. Hypotaxis, ſeu Subiunctio eſt, ſi quis velites cornubus Phalangis ordinem habentibus incuruum ſubiungat, ita vt tota agminis forma triquetra ſit.

ΚΕΦ. λ΄.

Περὶ Παρεμβολῆς, Προτάξεως, Ἐπιτάξεως, Προστάξεως, Εντάξεως, καὶ Ὑποτάξεως.

ΠΑρεμβολὴ δέ ἐστιν, ὅταν προτεταγμένων τινῶν εἰς τὰ μεταξὺ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων καθιστῶνται αὐτοῖς ἐπ᾽ εὐθείας. πρόταξις λέγεται, διὰ τὸ τοὺς ψιλοὺς προάγειν τῆς τῶν ὁπλιτῶν φάλαγγος. ὡς καὶ πρωτοστάτης, ὁ λοχαγὸς, τὸ δὲ ὄπισθεν αὐτοὺς εἶναι, ἐπίταξις λέγεται, ὡς ἐπίστασις, τὸ ὄπισθεν. πρόσταξις δέ ἐστιν, ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως, ἢ ἐκ τοῦ ἑνὸς προσθετῇ τι μέρος πρὸς τὴν αὐτὴν τῇ φάλαγγι ἐπιφάνειαν. ἡ τοιαύτη προένταξις τῆς φάλαγγος, πρόσταξις καλεῖται. ἔνταξις δέ ἐστιν, ἐάν τις προαιρῆται τοὺς ψιλοὺς εἰς τὰ διαστήματα τῆς φάλαγγος τάσσειν ἄνδρα παρ᾽ ἄνδρα. ὑπόταξις δέ ἐστιν, ἐάν τις τοὺς ψιλοὺς ὑπὸ τὰ κέρατα τῆς φάλαγγος ὑποτάσσῃ, ἐπικαμπίου τάξιν ἔχοντα, ὥστε ὅλον τὸ σχῆμα τριπολοειδὲς εἶναι.

ΚΕΦΑ-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ΚΕΦ. λα΄.

Πῶς τὰ συντάγματα δεῖ ἐπιστρέφειν, καὶ περισπᾶν, καὶ ἐκπερισπᾶν, καὶ ἕκαστον τούτων ἐπὶ δόρυ, ἐπ᾽ ἀσπίδα· καὶ πῶς ἀποκαταστῆσαι εἰς τὴν προϋπάρχουσαν τάξιν.

Ἑπόμενον δ᾽ ἂν εἴη δηλῶσαι πῶς τὰ συντάγματα δεῖ ἐπιστρέφειν, καὶ πῶς ἀποκαθιστάναι εἰς τὴν προϋπάρχουσαν τάξιν. ἐπὶ δόρυ μὲν οὖν ὅταν ἐπιστρέφειν τὰ συντάγματα ἐθίζειν βουλώμεθα, παραγγέλλεται τὸν ἐπὶ τοῦ δεξιοῦ λόχου ἡσυχίαν ἔχειν, ἕκαστον δὲ τὸν ἐν τοῖς λόχοις ἐπὶ δόρυ κλῖναι, προάγειν τε ἐπὶ τὸ δεξιόν, εἶτα εἰς ὀρθὸν ἀποδοῦναι, εἶτα προάγειν τὰ ὀπίσω ζυγά. καὶ ταύτης γινομένης τῆς πυκνώσεως, ἐπὶ δόρυ ἐπιστρέφειν. ὅταν δὲ τοῦτο γένηται, καὶ ἀποκαταστῆσαι πάλιν τὸ σύνταγμα δέον ἐπὶ τὴν ἐξ ἀρχῆς τάξιν, ταῦτα παραγγέλλεται· ἐπ᾽ ἀσπίδα μεταβάλλεσθαι, τουτέστιν, ἐπὶ τὸν ἐναντίον τόπον ἕκαστον νεύειν. εἶτα ἀναστρέφειν ὅλον τὸ σύνταγμα, τουτέστιν, ὥσπερ πυκνωθὲν ἐπεστράφη, καὶ εἰς τὰ δεξιὰ μέρη ἔνευσεν, οὕτως ὅλον μετατεθῆναι ἐπὶ τὸν τόπον, ἀφ᾽ οὗ τὴν ἐπιστροφὴν ἐποιήσατο. εἶτα οἱ λοχαγοὶ ἠρεμείτωσαν, οἱ δὲ λοιποὶ κατὰ ζυγὰ προαγέτωσαν, εἶτα μεταβαλλέσθωσαν, ὥστε νεύειν ἐφ᾽ ἃ ἐξ ἀρχῆς ἔνευον. εἶτα ἑκάστου συντάγματος ὁ ἐπὶ τοῦ δεξιοῦ λόχου ἠρεμείτω· οὗτος γὰρ

CAP. XXXI.

Quomodo Agmina ſint conuertenda, inflectenda, & circumflectenda, idque in Haſtam, vel in Clypeum: & vt denuo in priorem ordinem reſtituenda.

Cæterum conſectarium deinceps fuerit, quomodo ordinatas acies conuertere, atque in priorem ordinem eaſdem reſtituere oporteat, explanare. Cum igitur agmina adſuefacere volumus, in haſtam ſe conuertere, præcipitur, vt, quæ ad dextram eſt, decuria quieſcat: ſinguli autem in reliquis decurijs in haſtam inclinent, ac ad dextram procedant: inde in rectum ſe reddant: tum vt poſteriora iuga procedant, factâque hac denſatione in haſtam conuertantur. Quod vbi factum fuerit, ac denuo agmen in priorem locum reſtituere oportuerit, hæc præcipiuntur: nimirum, vt in Clypeum immutentur; hoc eſt, nutu vergant ſinguli in locum contrarium: deinde totum agmen conuertatur; hoc eſt, quemadmodum denſatum fuit conuerſum, atque ad dextras inclinauit, ita totum transponatur in locum, vnde conuerſionem fecerat: tum, vt Lochagi quieſcant, ac reliqui per iuga procedant: inde immutentur, vt eò ſpectent, quò prius ſpectabant: deinde cuiuſque agminis decuria, quæ a dextra eſt, quieſcat (nam ea iam proprium ordinem tenet) reliqui vero omnes in Clypeum

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

inclinent, ac procedant, conſiſtantque atque ita ordinem, quem ante habuit, quisque recepit. Si in clypeum velimus conuertere agmina, præcipimus, vt cuiusque agminis ſiniſtra decuria quieſcat, reliquarum ſinguli in clypeum inclinent, ac ad ſiniſtram procedant: deinde, in rectum ſe reddant: tum, vt iuga poſteriora procedant, ac in clypeum conuertantur. factumque eſt præceptum. Reſtituere eos ſi voluerimus, eadem faciemus, quæ ante, cum in haſtam conuerſos reſtituimus. Denuo enim ſinguli in haſtam immutentur: deinde agmen totum reuertatur: tum, Lochagi quieſcant; ac inde immutentur: reliqui vero per iuga procedant: tum quę eſt ad ſiniſtram, decuria quietem agat (nam illorum iam ſinguli in ordinem, quem prius tenebant, reſtituti ſunt): reliqui in haſtam inclinantes procedant, donec reſtituta ſint ordini priora interſtitia.

Si autem in haſtam inflectere velimus agmina, duas faciemus agminis eodem verſus conuerſiones. euenietque ita Lochagos ab aduerſo proſpectu in auerſum per agminum tranſitionem vergere. Hinc vero ſi reſtituere agmina velimus, in haſtam inflecti agmen præcipiemus, hoc eſt, alias duas conuerſiones agmini ad eaſdem partes dabimus. atque ita fiet, vt Lochagos habeas eodem ſpectantes, quo ab initio ſpectabant, antequam omnino vlla inflexio fieret. His factis

ἤδη τὴν ἰδίαν ἔχει τάξιν. οἱ δὲ λοιποὶ πάντες ἐπ' ἀσπίδα κλινέτωσαν ἄνω, καὶ τὴν τάξιν ἣν προεῖχε ἕκαστος ἀπείληφεν. Ἐὰν δὲ ἐπ' ἀσπίδα βουλώμεθα ἐπιστρέφειν τὰ συντάγματα, παραγγέλλομεν ἑκάστου συντάγματος τὸν ἐπὶ τοῦ εὐωνύμου λόχου ἠρεμεῖν, τῶν λοιπῶν δὲ ἕκαστον ἐπ' ἀσπίδα κλῖναι, καὶ προάγειν ἐπὶ τὸ εὐώνυμον. εἶτα εἰς ὀρθὸν ἀποδοῦναι. εἶτα προάγειν τὰ ὀπίσω ζυγά. εἶτα ἐπ' ἀσπίδα ἐπιστρέφειν, καὶ γέγονε τὸ παραγγελθέν. ἀποκαταστῆσαι δὲ ἐὰν βουλώμεθα, τὰ ὅμοια ποιήσομεν, ὅτε ἐπὶ δόρυ ἐπιστρέψαντες καθιστάνομεν. πάλιν γὰρ ἕκαστος μεταβαλλέσθω ἐπὶ δόρυ. εἶτα τὸ σύνταγμα ἀναστρεψάτω. εἶτα οἱ λοχαγοὶ ἠρεμείτωσαν. εἶτα μεταβαλλέσθωσαν, οἱ δὲ λοιποὶ κατὰ ζυγὰ προαγέτωσαν. εἶτα ὁ ἐπὶ τοῦ εὐωνύμου λόχος ἡσυχίαν ἐχέτω. ἤδη γὰρ ἕκαστος αὐτῶν εἰς ἣν προεῖχε τάξιν ἀποκατέστη. ὁ δὲ λοιπὸς ἐπὶ δόρυ κλίνας προαγέτω, ἕως ἀποκαταστῇ εἰς τάξιν τὰ διαστήματα. εἶτα εἰς ὀρθὸν ἀποδότω, καὶ πάντες ἕξουσι τὴν ἐξ ἀρχῆς τάξιν.

Ἐὰν δὲ ἐπὶ δόρυ περισπᾶν βουλόμεθα τὰ συντάγματα, δύο ποιήσομεν τοῦ συντάγματος ἐπὶ τὸ αὐτὸ ἐπιστροφάς, καὶ συμβήσεται τοὺς λοχαγοὺς ἀπὸ τῆς εἰς τὸ ἔμπροσθεν νεύσεως εἰς τὸ ὄπισθεν ἐν τῇ μεταβάσει τῶν συνταγμάτων νεύειν. ἀποκαταστῆσαι δ' ὅταν βουληθῶμεν τὰ συντάγματα, παραγγέλλομεν ἔτι ἐπὶ δόρυ περισπᾶν τὸ σύνταγμα. τουτέστιν, ἄλλας δύο ἐπιστροφὰς δώσομεν ἐπὶ αὐτὰ

μέρη

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

μέρη τῶ συνλάγματι. καὶ οὕτως συμβήσεται τοὺς λοχαγοὺς ἔχειν νεύοντας, ἐφ᾽ ἃ ἐξ ἀρχῆς ἔνευον, πρὶν ὅλως περισπασμὸς γένηται. τούτων δὲ γινομένων παραγγελοῦμεν τοὺς λοχαγοὺς ἠρεμεῖν, τοὺς δὲ λοιποὺς μεταβαλλομένους ἐπιέναι ὀπίσω ζυγά. εἶτα πάλιν μεταβάλλεσθαι, καὶ ἑκάστου συνλάγματος τὸν ἐπὶ τοῦ δεξιοῦ λόχου ἠρεμεῖν. ἕξει γὰρ τὴν ἐξ ἀρχῆς ἀποκατάστασιν. τοὺς δὲ λοιποὺς ἐπ᾽ ἀσπίδα κλίνοντας προάγειν, καὶ ἀποκαθιστάναι τὸ ἐξ ἀρχῆς διάστημα. εἶτα εἰς ὀρθὸν ἀποδοῦναι καὶ οὕτως τὴν ἐξ ἀρχῆς ἀποκατάστασιν τὰ συνλάγματα καταστήσονται.

Ἐὰν δ᾽ ἐπ᾽ ἀσπίδα βουλώμεθα περισπᾶν τὰ συντάγματα, τοῖς ἐναντίοις παραγγέλμασι χρησόμεθα. τουτέστιν, ἀντὶ τοῦ ἐπὶ δόρυ δὶς ἐπιστρέφειν, ἐπ᾽ ἀσπίδα περισπασμὸν γίνεσθαι. εἶτα δὶς ἐπ᾽ ἀσπίδα περισπάσαντας ταῖς ὁμοίαις ἀγωγαῖς χρήσασθαι. Ἐστὶ δέ τις ἐκπερισπασμὸς, ὅταν τὸ σύνταγμα τρὶς ἐπὶ τὸ αὐτὸ μέρος ἐπιστρέψῃ τις, τουτέστιν ἐπὶ δόρυ, ἢ ἐπ᾽ ἀσπίδα. ποιεῖ δὲ ὁ ἐπὶ δόρυ περισπασμὸς τὴν ὄψιν τῶν ὁπλιτῶν ἀπὸ τῶν ἔμπροσθεν ἐπὶ τὰ εὐώνυμα νεύειν. ὁ δ᾽ ἐπ᾽ ἀσπίδα ἐκπερισπασμὸς, ἀπὸ τῶν ἔμπροσθεν ἐπὶ τὰ δεξιὰ νεύειν.

præcipiemus, vt Lochagi quieſcant; reliqui vero immutati iuga poſteriora ſubeant, ac pertranſeant: tum, denuo immutentur, ac cuiusque agminis dextra decuria quieſcat (nam ea iam in priorem locum reſtituta eſt): cæteri vero in clypeum inclinati procedant, ac prius interſtitium reſtituant: tum in rectum ſe reddant. atque ita in priorem proſpectum agmina reſtituentur.

In clypeum ſi velimus agmina inflectere, contrarijs præceptis vtemur. hoc eſt, vt pro duabus in haſtam conuerſionibus, bis in clypeum inflexio fiat. deinde bis facta in clypeum inflexione, vt & illi reſtituantur in priorem locum, ijsdem inſtitutis vtemur. Eſt vero etiam, quod Ecperiſpaſmus dicitur, cum agmen eandem verſus partem ter quis conuertit, idque aut In haſtam, aut In clypeum. Periſpaſmus quidem aſpectum armatorem, qui modo anterior erat, poſteriorum teddit. Verum Ecperiſpaſmus qui fit in haſtam facit, vt eorum aſpectus ab anteriore in læuam vergat. qui vero in clypeum ſit, antetiorem aſpectum ad dextram transfert.

CAP. XXXII.

Quomodo denſare Phalangem oporteat ad dextrum ſiniſtrumque cornu, vel in medio: & quomodo in priorem ordinem reſtituere.

SI ad dextrum cornu denſare Phalangem velimus: præcipimus, Decuriam cornu dextri quieſcere: reliquos in haſtam inclinatos ad dextram procedere: dein in rectum ſe reddere; ac tum iuga poſteriora procedere. Reſtituere cum eos placebit, præcipiemus, vt Lochagi quieſcant: reliqui immutati iuga poſteriora ſubeant: inde denuo immutentur: tum, quæ ad dextrum cornu decuria eſt, Decuria quieſcat (iam enim ad dextram reſtituta eſt) reliqui in clypeum inclinati duces ſuos ſequantur, ac ſeruatis prioribus interſtitijs in rectum ſe reddant. Si ad cornu ſiniſtrum denſare Phalangem velimus, contrarijs præceptis vtemur. Si in media Phalange denſationem facere velimus, præcipiemus, vt dextra Diphalangia in clypeum inclinet, Læua in haſtam, inde mediam verſus Phalãgem procedant: tunc, omnes in rectum reddantur, ac poſteriora iuga procedant. cum vero Reſtituere animus eſt, præcipiemus, Phalangem eam immutari, ac per iuga procedere: tum, denuo omnes immutari, ac dextram Diphalangiam in haſtam incli-

ΚΕΦ. λβ.

Πῶς δεῖ πυκνῶσαι τὴν φάλαγγα ἐπὶ κέρας ἑκάτερόν τε, καὶ ἐπὶ τὸ μέσον· καὶ πῶς ἀποκαταστῆσαι εἰς τὴν ἐξ ἀρχῆς τάξιν.

ΕΑν δὲ ἐπὶ τὸ δεξιὸν μέρος τὴν φάλαγγα βουλώμεθα πυκνῶσαι, παραγγελοῦμεν τὸν ἐπὶ τοῦ δεξιοῦ κέρατος λόχον ἠρεμεῖν, τοὺς δὲ λοιποὺς ἐπὶ δόρυ κλίναντας προάγειν ἐπὶ τὸ δεξιὸν. εἶτα εἰς τὸ ὀρθὸν ἀποδοῦναι, καὶ προσάγειν τὰ ὀπίσω ζυγά. ἀποκαταστῆσαι δὲ ὅταν βουλώμεθα, παραγγελοῦμεν τοὺς λοχαγοὺς ἡσυχίαν ἔχειν, τοὺς δὲ λοιποὺς μεταβαλλομένους ἀνιέναι ὀπίσω ζυγά. εἶτα πάλιν μεταβάλλεσθαι. εἶτα τὸν ἐπὶ τοῦ δεξιοῦ κέρατος λόχον ἡσυχίαν ἔχειν· ἤδη γὰρ ἐπὶ τὰ δεξιὰ ἀποκατέστη. οἱ δὲ λοιποὶ ἐπ᾽ ἀσπίδα κλίναντες ἀκολουθήτωσαν τοῖς ἡγουμένοις, καὶ τὰ ἐξ ἀρχῆς διαστήματα διαστήσαντες εἰς ὀρθὸν ἀποδότωσαν. Ἐὰν δὲ ἐπὶ τὸ εὐώνυμον κέρας βουληθῶμεν πυκνῶσαι τὴν φάλαγγα τοῖς ἐναντίοις παραγγέλμασι χρησόμεθα. Ἐὰν δὲ ἐπὶ μέσην τὴν φάλαγγα πυκνῶσαι βουληθῶμεν, παραγγελοῦμεν τὴν δεξιὰν διφαλαγγίαν ἐπ᾽ ἀσπίδα κλίνειν, τὴν δὲ εὐώνυμον ἐπὶ δόρυ εἶτα προαγέτωσαν ἐπὶ μέσην τὴν φάλαγγα. εἶτα πάντες εἰς ὀρθὸν ἀποδότωσαν, καὶ προαγέτωσαν ὀπίσω ζυγά. ἀποκαταστῆσαι δ᾽ ὅταν βουλώμεθα τὴν φάλαγγα εἰς τὴν ἐξ ἀρχῆς τάξιν, παραγγελοῦμεν μεταβάλλεσθαι, καὶ προάγειν κατὰ ζυγὰ χωρὶς τοῦ πρώτου ζυγοῦ. εἶτα πάλιν μεταβάλ-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

παραβάλλεσθαι, καὶ τὴν μὲν δεξιὰν διφαλαγγίαν ἐπὶ δόρυ κλίναι, τὴν δὲ εὐώνυμον ἐπ᾽ ἀσπίδα. εἶτα ἀκολουθεῖν τοῖς ἡγουμένοις μέχρις ἂν εἰς τὰ ἐξ ἀρχῆς συνέλθωσι διαστήματα. εἶτα εἰς ὀρθὸν ἀποδοῦναι. ἐπὶ πασῶν μέντοι τῶν μεταβολῶν, ὅταν ἐκ πυκνώσεως γίνονται, δεῖ τὰ δόρατα ἄνω ἔχειν, πρὸς τὸ μὴ στραφέντος τοῦ ὁπλίτου ἐμποδὼν αὐτὰ γίνεσθαι. ταῖς αὐταῖς ἀγωγαῖς παιδεύσομεν καὶ τοὺς ψιλούς.

nare, ſiniſtram in clypeum: tum duces ſuos ſequi, donec ſimul ad priora interualla redeant: inde in rectum ſe reddere. Equidem in omnibus Immutationibus, cum ex denſationibus fiunt, haſtas ſurſum geſtari oportet, ne inuertente ſe armato illæ impedimento ſint. Iiſdem etiam inſtitutionibus velites erudiemus.

ΚΕΦ. λγ´.

Περὶ τῆς τῶν εἰρημένων Μεταβολῶν, Ἐπιστροφῶν, Περισπασμῶν, Ἐκπερισπασμῶν· καὶ Ἀποκαταστάσεων χρείας· τῆς τε τῶν Ἐξελιγμῶν χρείας ὁμοῦ καὶ διαφορᾶς.

Αὗται μέντοι αἱ παραγγελίαι τῶν μεταβολῶν, καὶ ἐπιστροφῶν, καὶ περισπασμῶν, καὶ ἀποκαταστάσεων χρειώδεις εἰσὶ πρὸς τὰς αἰφνιδίους τῶν πολεμίων ἐπιφανείας ἐκ δεξιῶν τῆς πορείας τῶν πολεμίων ἐπιφανέντων, ἢ καὶ ἐξ εὐωνύμων, ἢ ἔμπροσθεν. ὁμοίως δὲ καὶ τὸν ἐξελιγμόν. τὸν μὲν οὖν Μακεδονικὸν ἐξελιγμὸν φασὶ Μακεδόνας εὑρεῖν· Λακεδαιμονίους δὲ τὸν Λακωνικὸν· καὶ διὰ τοῦτο τῶν ὀνομάτων εἰρημένων ἕκαστον αὐτῶν τυχεῖν. ἱστόρηται μὲν Φίλιππον τὸν αὐξήσαντα τῶν Μακεδόνων τὴν ἀρχὴν τοὺς Ἕλληνας μάχῃ νικήσαντα περὶ Χαιρώνειαν, καὶ τὴν ἡγεμονίαν τῆς Ἑλλάδος λαβόντα, Ἀλέξανδρον δὲ τὸν υἱὸν αὐτοῦ καὶ τῆς Ἀσίας ὀλίγῳ χρόνῳ κρατή-

CAP. XXXIII.

De dictarum Immutationum, Conuerſionum Inflexionum, Circumflexionum, & Reſtitutionum vſu: deq; eodem Euolutionum ſimul, & Differentia.

EQuidem hæc præcepta Immutationum, Conuerſionum, Inflexionum, Circumflexionum, ac Reſtitutionum vtilia ſunt aduerſus repentinos hoſtium ſuperuentus, illis vel a dextra in itinere apparentibus, vel a ſiniſtra, vel a fronte. Eadem Euolutionum eſt vtilitas. Atqui Macedonicam Euolutionem Macedones inueniſſe aiunt. Laconicam Lacedemonios. ac propterea quamque earum prædicta nomina ſortitam eſſe. Sed referunt hiſtoriæ, Philippum, qui Macedoniæ regnum auxit, & Græcos pugná ad chæroneam deuicit, Græciæque imperium cœpit: atque Alexandrum deinde eius filium, qui etiam exiguo temporis ſpatio Aſiam ſu-

ſubegit; hos Macedonicam euolutionem reprobaſſe, niſi ſi quando forte neceſſitate ad vſum eius compellerentur: vtrumque autem Laconicâ vſum hoſtes ſuperaſſe, ac vi domuiſſe. Etenim Macedonica euolutio irruentibus a tergo hoſtibus magnam turbationem inferebat. nam a Tergiduce egredientibus in locum eius, qui poſt Lochagum proximus eſt, atque ita fugæ ſpeciem quandam oſtendentibus, id confidentiores, atque animoſiores hoſtes reddit, & ijs, qui ſic euoluêre, conſternatio, ac perſecutio ab hoſtibus conſequitur. At Laconica contrarium iſti exhibet. nam apparentibus a tergo hoſtibus, cum Duces & qui eos ſequuntur, hoſtibus aduerſum eant, inque eos irruant, vehemens inde metus hoſtibus incutitur.

σαντα, τὸν μὲν μακεδονικὸν ἐξελιγμὸν ἀποδοκιμάσαι, εἰ μή που καὶ τούτου ἡ χρεία προσεβιάσατο. τῷ δὲ λακωνικῷ χρησάμενον, ἀμφοτέροις τῶν πολεμίων καταϰρατῆσαι. ὁ μὲν γὰρ μακεδονικὸς ἐξελιγμὸς προσπιπτόντων τῶν πολεμίων ἐκ τῶν ὄπισθεν ἐποίει πολλὴν ταραχήν. τῶν μὲν ἀπὸ τοῦ οὐραγοῦ εἰς τὸν ὀπίσω τοῦ λοχαγοῦ τόπον ἐκπεριπορευομένων, καὶ φυγῇ παραπλήσιόν τι ποιησάντων, θαρραλεωτέρους μὲν ποιεῖ τοὺς πολεμίους, κατάπληξις δὲ, καὶ διωγμὸς τοῖς οὕτω ἐξελίξασι παρὰ τῶν πολεμίων ἐκ τῶν ὄπισθεν γὰρ ἐπιφαινομένων τῶν πολεμίων ἀκολουθεῖ. ὁ δὲ λακωνικὸς τὸ ἐναντίον τούτῳ παρέχει. ὄπισθεν γὰρ ἐπιφαινομένων τῶν πολεμίων, καὶ τῶν ἡγεμόνων σὺν τοῖς ἐπακολουθοῦσιν ἐφορμώντων, καὶ ὑπαντώντων τοῖς πολεμίοις, ἰσχυρὰ τοῖς πολεμίοις δειλία γίνεται.

Cap. XXXIV.

Quod copias tam pedeſtres, quam equeſtres tum voce, aut tubâ, tum ſignis viſibilibus adſuefacere oporteat.

POrro copias Pedeſtres iuxta, atque Equeſtres modò voce, modò ſignis viſibilibus adſuefacere oportet, vt decenter, atque opportunè fiat, quod expedit. Sed quædam etiam Tubâ præcipere conuenit. Ita enim quoduis iuſſum promptè effectum dabitur. Sunt quidem manifeſtiora, quæ voce ſignificantur, ſi nihil iſta

Κεφ. λδʹ.

Ὅτι δεῖ δυνάμεις τάς τε πεζικὰς, καὶ ἱππικὰς ἐθίζειν, τὰ μὲν φωνῇ, ἢ διὰ σάλπιγγος, τὰ δὲ διὰ σημείων ὁρατῶν.

ΔΕῖ δὲ ἐθίζειν τὰς δυνάμεις τὰς πεζικὰς, καὶ τὰς ἱππικὰς, τὰ μὲν φωνῇ, τὰ δὲ διὰ σημείων ὁρατῶν, ἵνα καθ' ἑκάστην ἐπιτηδειότητα τὸ προσῆκον γίνηται. ἔνια δὲ καὶ διὰ τῆς σάλπιγγος παραγγέλλεσθαι προσήκει οὕτως γὰρ πᾶσα ἐπίταξις ἐξυπηρετηθήσεται. σαφέστερα μὲν οὖν ἐστὶ τὰ διὰ τῆς φωνῆς μηνυόμενα,

ἐὰν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ἐάν γε μηδὲν ἐμπόδιον αὐτῇ ᾖ. ἀθορυβότερα δὲ τὰ διὰ τῶν σημείων, ὅταν μηδὲ τούτοις τυγχάνῃ τι τὸ ἐπισκοτοῦν. τὰ διὰ τῆς φωνῆς ἐνίοτε δυσεξάκουστα γίνεται, ἢ διὰ ψόφον ὅπλων, καὶ δυνάμεως ἱππικῆς παριππασίαν καὶ χρεμετισμῶν ἵππων, καὶ θόρυβον σκευοφόρων, καὶ τοῦ πλήθους παντὸς ἦχον. καὶ τὰ διὰ τῶν σημείων δὲ ἄπορα πολλαχῇ γίνεται, διά τε παχύτητα ἀέρος, καὶ κονιορτοὺς, καὶ ὕδατα καὶ νιφετοὺς, καὶ ἡλίου ἀνταύγειαν. ἔτι δὲ τόπους ἀνωμάλους, καὶ καταδένδρους, καὶ καμπὰς ἔχοντας. ἐνίοτε δὲ οὐκ ἔστιν εὔπορον πρὸς πᾶσαν χρείαν εὑρεῖν σημεῖα, τῶν καιρῶν καινὰ πολλάκις εὑρισκόντων, οἷς τις οὐ προσείθισται. οὐ μέντοι ἅμα πάντα συμπεσεῖν δύναται, ὥστε ἄδηλον εἶναι ἢ φωνῆς, ἢ σημείων τὸ παράγγελμα.

impediat: ſed tranquilliora, quæ per ſigna indicantur, modo tamen nihil ſit, quod & hæc obſcurare queat. Quę voce indicantur ſubinde difficulter exaudiri poſſunt, aut propter armorum ſonitum, aut equeſtrium copiarum præter equitationes, aut equorum hinnitum, aut impedimentorum tumultum, totiuſque adeo multitudinis clamorem. Signa quoque, ea in certa multis modis redduntur, & propter aëris quandoque craſſitiem, & excitatos pulueres, & aquas, niueſque cælo deciduas, & ſolis aduerſos radios: ad hæc loca inæqualia, arboribuſque obſita, ac tortuoſas vias habentia. Quandoque vero ad omnem vſum ſigna inueuire haud facile, cum occaſiones noua ſæpe inueniant, quibus aliquis non aſſueuit. Attamen omnia iſta incommoda ita coïncidere nequeunt, vt manifeſtum non ſit aut vocis, aut ſignorum præceptum.

ΚΕΦ. λε΄.

Περὶ πορειῶν τοῦ στρατοῦ· περὶ ὀρθίας ἐν αὐταῖς Ἐπαγωγῆς, καὶ Παραγωγῆς, ἢ ἐν δεξιᾷ, ἢ ἐν εὐωνύμῳ. καὶ ὅτι πρὸς ὀρθίαν Ἐπαγωγὴν ἀντιτάττεται ὁ Κοιλέμβολος, ὥσπερ καὶ πρὸς τοῦτον ἡ Τριφαλαγγία.

Cap. XXXV.

De modis, quibus incedit in itineribus Exercitus. de rectâ in ijs Epagoge, & Paragoge, eâq; vel in Dextrâ, vel in Siniſtrâ. Quod rectæ Epagoge opponatur Cœlembolus, ſeu Cuneus cauus; & quod huic Triphalangia.

ΠΕρὶ πορειῶν μέλλοντες λέγειν τοσοῦτον προερῦμεν, ὅτι ἡ μὲν ἐν τῷ ἐστὶν ὀρθία ἐπαγωγή, ἡ δὲ παραγωγή ἢ ἐν δεξιᾷ, ἢ ἐν εὐωνύμῳ. καὶ ἢ ἐν μονοπλεύρῳ, ἢ διπλεύρῳ, ἢ τριπλεύρῳ, ἢ τῷ τετραπλεύρῳ τάγ-

DE modis, quibus incedunt in itineribus acies verba facturi tantum proloquemur, quod in ijs quædam ſit recta Epagoge, ſeu Inductio, quædam Paragoge, eaque vel in dextrâ, vel in ſiniſtra. quodque vel vnilatero, vel bilatero, vel trila-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

tero, vel quadrilatero agmine incecedatur. Et quidem vnilatero, cum vni lateri metuitur: bilatero, cum duobus: trilatero, cum tribus: quadrilatero, cum vndique hoſtes impetum facere velint. Ac propterea fiunt itinera quandoque Monophalangia, ſeu vnica phalange; quandoq; Diphalangia, ſeu duabus: quandoque Triphalangia, ſeu tribus; quandoque Tetraphalangia, ſeu quatuor Phalangibus. Et quidem Epagoge recta eſt, cum agmen ſequitur. vt, ſi præcedente Xenagiâ cæteræ ſubſequantur: aut Tetrarchiâ præeunte reliquæ ſubſequantur agminatim. Vocatur autem ea ſic, cum per cornu progreditur altitudinem habens longitudine multo maiorem. continet vero in eâ agmen duas decurias, x: virorum ſingulas. opponitur huic acies, Cœlembolus dicta, quæ ita fit, cum Antiſtomus Diphalangia cornua præcedentia diſiungit, ſequentia vero coniungit in formam literæ υ, quemadmodum deſcriptio nos docet, quæ primos inter ſe diſtantes, poſtremos coniunctos exhibet. Nam cum recta Epagoge in medios feratur hoſtes, promte poſſunt, qui ſunt in Cœlembolo ſolutâ ſuâ vnitione priorum vim, atque incurſum irritum, atque euanidum reddere, ac ad latera rectæ Epogoges ſecedere. Quinetiam & Triphalangia Cœlembolo opponitur, cum vna Phalanx aduerſus vnum cornu depugnat|, ſecunda aduerſus alterum, media autem quæ tertia eſt, impetum certaminis exſpectat.

ματι βαδιεῖται. μονοπλεύρῳ μὲν, ὅταν ἕνα φοβῆται· διπλεύρῳ δὲ, ὅταν δύο. τριπλεύρῳ δὲ, ὅταν τρία. τετραπλεύρῳ δὲ, ὅταν πάντοθεν οἱ πολέμιοι ἐπιθέσθαι θέλωσι. καὶ διὰ τοῦτο γίνονται αἱ πορεῖαι, ποτὲ μὲν μονοφαλαγγία, ποτὲ δὲ διφαλαγγία, ἢ τριφαλαγγία, ἢ τετραφαλαγγία. καὶ ἐπαγωγὴ ὀρθία μέν ἐστιν, ὅταν τάγμα τάγματι ἐπακολουθῇ. οἷον, ξεναγίας προηγουμένης αἱ λοιπαὶ ξεναγίαι ἕπονται. ἢ τετραρχίας προπορευομένης αἱ λοιπαὶ ἐπακολουθῶσι κατὰ τάγμα. καλεῖται δὲ οὕτως, ὅταν ἐπὶ κέρας πορεύηται πολλαπλάσιον ἔχουσα τὸ βάθος τοῦ μήκους. ἔχει δὲ τὸ τάγμα δύο λόχους ἀπὸ δέκα ἀνδρῶν. πρὸς ταύτην ἀντιτάττεται ὁ κοιλέμβολος. γίνεται δὲ οὕτως, ὅταν ἡ ἀντίστομος διφαλαγγία τὰ μὲν ἡγούμενα κέρατα διαστήσῃ, τὰ δὲ ἑπόμενα συνάψῃ ἐν σχήματι τοῦ υ στοιχείου, ὡς διδάσκει ἡμᾶς ἡ καταγραφὴ ἔχουσα τοὺς μὲν πρώτους διεστῶτας, τοὺς δὲ τελευταίους συνημμένους. τῆς γὰρ ὀρθίας ἐπαγωγῆς κατὰ τοῦ μέσου τῶν ἐχθρῶν φερομένης, ἑτοίμως ἔχουσιν οἱ τοῦ κοιλεμβόλου διαλύσαντες τὴν ἕνωσιν κενῶσαι μὲν τὴν προσβολὴν τῆς πρώτης δυνάμεως, χωρῆσαι δὲ κατὰ τῶν πλαγίων μερῶν τῆς ὀρθίας ἐπαγωγῆς. οὐ μὴν ἀλλὰ καὶ τριφαλαγγία ἀντιτάττεται τῷ κοιλεμβόλῳ. τῆς μὲν μιᾶς φάλαγγος μαχομένης τῷ ἑνὶ κέρατι, τῆς δὲ δευτέρας τῷ ἄλλῳ, τῆς δὲ μέσης καὶ τρίτης ἀναμενούσης τὴν προσβολήν.

Recta Inductio.

```
            p  p  p  p
            p  p  p  p
            p  p  p  p
            p  p  p  p
            p  p  p  p
            p  p  p  p
            p  p  p  p
            p  p  p  p
d  d  d                          d  d  d
 d  d  d                       d  d  d
  d  d  d                    d  d  d
   d  d  d                 d  d  d
    d  d  d              d  d  d
     d  d  d           d  d  d
```

Cœlembolus.

Triphalangia.

```
                  p  p
                  p  p
            p  p  p  p  p  p
            p  p  p  p  p  p
            p  p  p  p  p  p
            p  p  p  p  p  p
            p  p        p  p
            p  p        p  p
d  d  d  d                          d  d  d  d
 d  d  d  d                       d  d  d  d
  d  d  d  d                    d  d  d  d
   d  d  d  d                 d  d  d  d
    d  d  d  d              d  d  d  d
     d  d  d  d           d  d  d  d
```

CAP. XXXVI.

De Paragoge dextrâ, & ſiniſtrâ.

PAragoge eſt, cum Phalanx Duces, ſeu Lochagos aut a dextris habet ad latera incidentes, quæ dicitur, dextra Paragoge, aut a ſiniſtris, quæ dicitur ſiniſtra Paragoge, vt ij iam non amplius ſecundum decurias, ſed biiuga incedant per cornu. aut enim bilateris, aut trilateris, aut quadrilateris phalangibus efformatis, vndecumque, & quotcumque a partibus hoſtem adoriturum ſuſpicio eſt, illac ei aduorſum itur. Vtraque vero Paragoge cum primum impetum a lateribus faciat, longitudinem ad altitudinem effecere triplã. Etenim Frons x, altitudo III habet. Talis autem eſt hæc pugnæ forma, quod in eâ miles non tantum e directo aduerſos impetus, ſed etiam, qui a lateribus incidunt, ſuſtinere per exercitationem adſueſcat.

ΚΕΦ. λϛʹ.

Περὶ Παραγωγῆς δεξιᾶς τε, καὶ εὐωνύμου.

ΠΑραγωγὴ ἐστὶ, ὅταν ἡ φάλαγξ τοὺς ἡγεμόνας, ἤτοι τοὺς λοχαγοὺς, ἢ ἐκ δεξιῶν ἔχῃ παράγοντας, ὃ καλεῖται δεξιὰ παραγωγή, ἢ ἐξ εὐωνύμων, ὃ λέγεται εὐώνυμος παραγωγὴ, οὐκ ἔτι κατὰ λόχους, ἀλλὰ κατὰ ζυγὰ ἐπὶ κέρας πορευομένους. ἢ γὰρ ἐν διπλεύρῳ, ἢ καὶ ἐν τετραπλεύρῳ τὰς φάλαγγας ποιησαμένους, ὅθεν ἂν, καὶ ἐξ ὁποσῶν μερῶν τὸ πολέμιον ὑποπτεύεται, βαδιεῖται. ἀμφότερα ἐστὶ ἐκ πλαγίων τὴν πρώτην προσβολὴν ποιούμεναι τὸ μὲν μῆκος διπλάσιον ἐποιήσαν τοῦ βάθους. δέκα μὲν γὰρ ἔχει τὸ στόμα τρεῖς ἐστὶ τὸ βάθος. τοῦτο ἐστὶ τὸ τῆς μάχης ἐστὶ σχῆμα διὰ τὸ ἐθίζεσθαι τῶν στρατιωτῶν μὴ μόνον ἐπ᾽ εὐθείας, ἀλλὰ καὶ τὰς ἐκπλαγίους μεμελετημένως δέχεσθαι προσβολάς.

Paragoge dextra.

D	d	d	
D	d	d	
D	d	d	
D	d	d	
D	d	d	*Frons.*
D	d	d	
D	d	d	
D	d	d	
D	d	d	

Paragoge ſiniſtra.

	d	d	D
	d	d	D
	d	d	D
	d	d	D
Frons.	d	d	D
	d	d	D
	d	d	D
	d	d	D
	d	d	D

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ΚΕΦ. λζ.

Περὶ Ἀντιστόμου Φάλαγγος.

Ἀντίστομος φάλαγξ. λέγεται γὰρ οὕτως διὰ τὸ δύο στόματα ἔχειν. στόμα γὰρ λέγονται οἱ πρῶτοι ἐπὶ τοὺς πολεμίους πορευόμενοι. ἐπεὶ οὖν ἐν τούτῳ τῷ σχήματι οἱ μὲν μέσοι ἀντινωτοί εἰσιν, οἱ δὲ ἐν ταῖς ἀρχαῖς προσβάλλουσι τοῖς πολεμίοις, ὥστε τοὺς μὲν εἶναι ἐπιστάτας, τοὺς δὲ οὐραγούς, διὰ τοῦτο ταύτην ἔχει τὴν ὀνομασίαν. ἐστὶ δὲ χρησιμωτάτη πεζοῖς, ὅταν πρὸς πολεμίους μάχωνται, πολλὴν τὴν ἱππικὴν παράταξιν ἔχοντας, καὶ κατελαύνειν δυναμένους. τάττεται δὲ τὸ τοιοῦτον σχῆμα μάλιστα πρὸς τοὺς περὶ τὸν Ἴστρον βαρβάρους, οὓς καὶ ἀμφίππους ἔλεγον, ὡς εἰθισμένους μεταβαίνειν ἀπὸ ἄλλων ἵππων εἰς ἄλλους. τὸ δὲ ἀντι-παραταττόμενον ἱππικὸν τάγμα τετράγωνον ἔχον σχῆμα πρὸς τὴν χρείαν ἐμερίσθη εἰς δύο τάξεις ἑτερομήκεις. ἑτερομήκεις δέ εἰσιν αἱ τὸ στόμα τοῦ βάθους ἔχουσαι διπλάσιον. ἑκάτερα δὲ αὐτῶν πρὸς τὰς τῶν πεζῶν διαιρέσεις ἀντιπαρατάττεται.

CAP. XXXVII.

De Antiſtomo Phalange.

Antiſtomus Phalanx ita dicitur, quod duplicem Frontem, ſeu Os habeat. Os enim, & Frons dicuntur, qui primi in aduerſos hoſtes eunt. Quoniam igitur in hac formâ medij Antinoti ſunt, hoc eſt: oppoſitis dorſis; qui vero in extremitatibus primi ſunt, in hoſtes irruunt, vt quidam ſint Epiſtatæ, quidam Tergiduces, propterea id nominis accepit hæc Phalanx. Vtiliſſima autem hæc eſt acies peditibus, quando cum hoſtibus pugnant, qui multo equitatu in acie pollent. Vſus huius formæ maximus eſt aduerſus Barbaros Iſtri accolas, quos etiam Amphippos dixere, vt qui ab aliis equis in alios tranſilire aſſueti ſint. Equeſtris, quæ huic opponitur, acies conſtans forma quadrata poſtulante vſu in duo agmina oblonga diuiſa eſt. oblonga autem ſunt, quæ frontem altitudine duplo maiorem habent: vtrumque vero iſtorum agminum Peditum diuiſionibus ex aduerſo opponitur.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Equites.

γ γ γ γ γ γ γ γ γ γ γ γ
γ γ γ γ γ γ γ γ γ γ γ γ
γ γ γ γ γ γ γ γ γ γ γ γ

Frons.

Antiſto- d d d d d d d d d d ἀντίστομος
mus pha- *lanx.* d d d d d d d d d d φάλαγξ.

p p p p p p p p p p
p p p p p p p p p p

Frons.

λ λ λ λ λ λ λ λ λ λ λ λ λ
λ λ λ λ λ λ λ λ λ λ λ λ λ
λ λ λ λ λ λ λ λ λ λ λ λ λ

Equites.

CAP. XXXVIII.

De Amphiſtomo Phalange.

PHalanx Amphiſtomus, & illa Antiſtomo ſimilis eſt formâ immutatâ, vt varijs ſpecieb. equeſtrium incurſionum adſueſcatur. Conueniunt vero huic etiam formæ omnia, quæ in priore phalange dicta ſunt, tam pedeſtri, quam equeſtri. in eo tamen differt ab Antiſtomo, quod in Antiſtomo ab extremis pugna habeatur, in Amphiſtomo vero a lateribus. Et tam qui in hac acie, quam qui in hac acie, quam qui in præcedente ordinati ſunt, prælongis haſtis pugnant, vt Alani, & Sauromatæ. Habet autem dimidiam armatorum in decurijs partem anteriorem, alteram reliquorum auerſam in poſterius: ita vt

ΚΕΦ. λή.

Περὶ Ἀμφιστόμου φάλαγγος.


ΑΜφίστομος φάλαγξ ὁμοία καὶ αὐτὴ τῇ ἀντιστόμῳ, ὥστε πρὸς τὸ εἶδος τῶν ἱππικῶν ἐπιδρομῶν ἐθίζεσθαι. ἁρμόζει δὲ καὶ ἐπὶ τούτου τοῦ σχήματος πάντα τὰ ἐπὶ τῆς προτέρας φάλαγγος εἰρημένα πεζικῆς τε καὶ ἱππικῆς. διαφέρει δὲ κατὰ τοῦτο τῆς ἀντιστόμου, ὅτι ἡ μὲν ἀντίστομος ἐξ ἄκρων ἔχει τὰς μάχας, ἡ δὲ ἀμφίστομος ἐκ πλαγίων. καὶ οἱ ἐν τῇ πρὸ ταύτης τεταγμένοι μεγάλοις δόρασι μάχονται, ὡς Ἀλανοὶ, καὶ Σαυρομάται. ἔχει δὲ τοὺς ἡμίσεις τῶν ἐν τοῖς λόχοις ὁπλιτῶν ἔμπροσθεν, τοὺς δὲ ἑτέρους ἀπεστραμμένους εἰς τοὐπίσω, ὡς ἀν-

πινά-


πρώτους ἀλλήλαις γίνεσθαι. ἐν αὐτῇ δὲ δύο στόματα, ἔμπροσθέν τε, ἐν οἷς οὐραγοί. οὐ μὴν ἀλλὰ καὶ εἰς διφαλαγγίαν διαιρουμένη τὸ μὲν ἔμπροσθεν στόμα διὰ τῆς μιᾶς ποιεῖται φάλαγγος, τὸ δὲ ὄπισθεν διὰ τῆς ἑτέρας.

ſibi mutuo antinoti, ſeu oppoſitis fiant dorſis. Suntque in ea duæ Frontes, anterior vna, in qua Lochagi, poſterior altera, in quâ Tergiduces. Quinetiam in Diphalangiam diuiſa, Frontem anteriorem phalange vnâ facit, poſteriorem alterâ.

παράταξις ἱππική.



ἀμφίστομος φάλαγξ.



Acies Equeſtris.

Amphiſtomus phalanx.

ΚΕΦ. λθ'.

Περὶ Ἀντιστόμου Διφαλαγγίας, καὶ ἀντιμαχομένης αὐτῇ ἱππικῆς ἴλης ἐμβολοειδοῦς.

Ἀμφίστομος διφαλαγγία, ἥτις τοὺς ἡγεμόνας οὐκ ἔτι ἐκτὸς ἐν παραγωγαῖς, ἀλλ' ἐντὸς ἔχει ἀπ' ἐναντίας ἀλλήλων παρατεταγμένους, τοὺς δὲ οὐραγοὺς ἐκτὸς τοὺς μὲν ἐν δεξιᾷ παραγωγῇ, τοὺς δὲ ἐν εὐωνύμῳ. γίνεται δὲ τὸ σχῆμα τοῦτο, ὅταν


CAP. XXXIX.

De Antiſtomo Diphalangia, & quæ aduerſa illi pugnat, Turmâ Equeſtri Cunei-formi.

Amphiſtomus Diphalangia dicitur, quæ Duces habet non amplius extra in Paragogis, ſed intra ex aduerſo ſibi mutuo oppoſitos. Tergiduces vero extra, alios in dextra Paragoge, alios in ſiniſtrâ. Vſus huius formæ eſt, quando equitum irruptio in formam Cunei fit. Cum enim Cu-

neus in acumen deſinat, habeatque duces a lateribus oblique ſequentes, quibus animus ſit, pedeſtris aciei frontem perrumpere; præuidentes id peditum duces in medio conſiſtunt. qui aut prouidere debent, ne illi pertranſeant, aut efficere, vt iidem irrito conatu peruadant. Etenim qui in Cunei formâ irruunt, id faciunt ſpe mediam multitudinem in pedeſtri acie deuincendi, ac totam aciem diſturbandi. Peditum autem Duces, quo vergat impetus iſtius formæ animaduertentes, vtrimque muri inſtar ſe diſiungunt, ac ſimul mediam verſus conuerſo aſpectu tranſitum ipſis inanem concedunt. Tale apud Tacticos equitum agmen Cuneus, ſeu Roſtrum vocatur. quod Philippus, Macedonum Rex, inuenit, fortiſſimos præponens, vt ab ipſis etiam imbelliores concluderentur. quomodo in haſtæ cuſpide, aut enſe videmus ſuis extremitatibus acumen adepto, ac facilè propter aciem ſecante medium etiam, quod hebes eſt, ferrum ſimul penetrare.

ἱππικὴ προσβολὴ ἐμβολοειδής ἐστι. γὰρ ἐμβόλου εἰς ὀξὺ λήγοντος, καὶ ἔχοντος ἀκολουθοῦντας ἐκ πλαγίου τοὺς ἡγεμόνας, καὶ διατεμεῖν προθυμουμένους κατὰ τοῦ μετώπου τὴν πεζικὴν τάξιν, προορῶντες οἱ τῶν πεζῶν ἡγεμόνες ἐν τῷ μέσῳ ἵστανται, καὶ κωλῦσαι ὀφείλοντες αὐτῶν τὴν εἴσοδον, ἢ ποιῆσαι αὐτοὺς ἀπράκτους παρελθεῖν. οἱ μὲν γὰρ ἐν τοῖς ἐμβόλοις ὁρμῶσιν ἐπ' ἐλπίδι τοῦ καταγωνίσασθαι τὸ μέσον πλῆθος, καὶ τάραχον ἐμποιῆσαι τῷ τάγματι. οἱ δὲ τῶν πεζῶν στρατηγοὶ νοοῦντες τὴν ὁρμὴν τοῦ σχήματος ἐκείνου τοίχους ἑκατέρωθεν μιμησάμενοι, καὶ μικρὸν ἑαυτοὺς διαστήσαντες, καὶ συννεύοντες κατὰ τοῦ μέσου κενὴν αὐτοῖς διδόασι τὴν πάροδον. τὸ δὲ τοιοῦτον ἱππικὸν τάγμα παρὰ τοῖς τακτικοῖς ἔμβολος καλεῖται. ὃ ἐξεῦρε Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεύς, τοὺς ἀνδρειοτάτους προτάξας, ἵνα δι' αὐτῶν συνεργῶνται καὶ οἱ ἀσθενέστεροι ὃν τρόπον ἐπὶ τῆς λόγχης, ἢ ἐπὶ τοῦ ξίφους ὁρῶμεν, τῷ κατὰ ἄκρα ἐστομωμένῳ, καὶ εὐκόλως τέμνοντα δι' ὀξύτητα συνωθοῦντα καὶ τὸ μέσον ἀργὸν σίδηρον.



ἔμβολος ἱππική. *Cuneus equeſtris.*

ΚΕΦ. μ'. — CAP. XL.

Περὶ Ἀμφιστόμου Διφαλαγγίας, καὶ Περιστόμου.

Ταύτης αἱ φάλαγγες κατὰ παραγωγὴν ἐπὶ κέρας πορευόμεναι, ἡ μὲν ἐν δεξιᾷ λοξῇ παραγωγῇ ἔχει τοὺς ἡγεμόνας, ἡ δὲ ἐν εὐωνύμῳ λοξῇ τοὺς οὐραγοὺς ἔνδοθεν ἔχουσα. δείκνυσι τὸ σχῆμα τῆς παρατάξεως τὰς ὁρμὰς τῶν πολεμούντων, ἐπειδὴ ἡ προσβάλλουσα τάξις πάλαι τετράγωνος οὖσα ἐμέρισεν ἑαυτὴν εἰς δύο λοξὰ κέρατα, τό τε δεξιὸν, καὶ τὸ εὐώνυμον, κυκλῶσαι θέλουσα τὴν ἀνθισταμένην ἐν τετραγώνῳ τάξιν, διὰ τοῦτο οἱ μέλλοντες κυκλοῦσθαι εἰς δύο φάλαγγας κινουμένας μετεσχημάτισαν ἑαυτοὺς, καὶ οἱ μὲν αὐτῶν


De Amphiſtomo Dipha langia, & Periſtomo.

Amphiſtomus Diphalangia eſt, cuius phalanges in Paragoge per cornu incedentes, altera obliqua Paragoge Duces a dextrâ habet, altera, quæ a ſiniſtrâ obliqua eſt, Tergiduces intus continet. Oſtendit hæc Aciēi forma, quorſum pugnaturi impetum dirigant. nam poſtquam irruens aduerſum agmen, quod ante Quadratum erat, in duo cornua obliqua ſe diuiſit, dextrum ſcilicet, & ſiniſtrum; cupiens oppoſitam Quadratam Aciem circumuenire, ea propter circumuentionem metuentes, qui

in ea in duas Phalanges mobiles ſeſe transformauêre: atque pars eorum ad Læuum cornu conceſſere, pars ad dextram ſe conuertêre. Vnde quoque Periſtomus Acies ea dicta, vtrimque frontem in aduerſos hoſtes inclinantem habens.

πρὸς τὸ εὐώνυμον ἐβάρησαν κέρας οἱ δὲ πρὸς τὸ δεξιὸν μετεστράφησαν. ὅθεν καὶ περίστομος ἐκλήθη ἀμφοτέρωθεν ἔχουσα πρὸς τοὺς πολεμίους στόμα νενευκός.

Periſtomus diphalangia. περίστομος διφαλαγγία.



KE

ΚΕΦ. μα΄.

Περὶ Ὁμοιοστόμου Φάλαγγος, καὶ ἀντιτεταγμένου αὐτῇ Πλινθίου καὶ περὶ Ὁμοιοστόμου Διφαλαγγίας.

Οὕτω καλεῖται αὐτή, ὅτι λόχου τελείου κινουμένου κατ' αὐτῶν, τουτέστιν ἀνδρῶν ιϛ΄, ὄπισθεν ὅμοιος λόχος αὐτῇ ἕπεται. διὸ καὶ ὁμοιόστομος κέκληται, ὅτι καὶ οἱ ἀκολουθοῦντες αὐτοῖς ἐν ὁμοίῳ σχήματι ἕπονται. ἀντίκειται δὲ αὕτη τῷ πλινθίῳ. λέγεται δὲ πλινθίον, τάγμα ἰσόπλευρον καὶ τῷ σχήματι, καὶ τῷ ἀριθμῷ, σχήματι μὲν ὅτι πανταχόθεν ἴσα ἔχει τὰ διαστήματα. ἀριθμῷ δὲ, ὅτι ὅσους ἔχει τὸ μῆκος, τοσούτους καὶ τὸ βάθος. ἐν δὲ τῷ τοιούτῳ σχήματι ἐκ τῶν τεσσάρων πλευρῶν ὁπλῖται παρατάσσονται, οὔτε τοξότου, οὔτε σφενδονίτου τοῖς πλευροῖς συγκάμνοντος. ἐστὶ δὲ τοῦτο τὸ πλινθίον ἐκ δύο διμοιριῶν. τὸ γὰρ ἥμισυ τοῦ λόχου διμοιρία καλεῖται. ὀφείλοντος γὰρ τοῦ λόχου ἔχειν ιϛ΄, ὀκτὼ ἄνδρας ἔχει ἡ διμοιρία. ὅταν οὖν αἱ φάλαγγες παραπορευόμεναι ἀλλήλαις, ἢ ἐν δεξιᾷ παραγωγῇ ἔχωσιν ἀμφότεραι τοὺς ἡγεμόνας, ἢ ἐν εὐωνύμῳ, τότε λέγεται, ὁμοιόστομος διφαλαγγία.

CAP. XLI.

De Homœoſtomo Phalange, & quæ illi opponitur, Plinthio. & de Homœoſtomo Diphalangia.

Homœoſtomus Phalanx vocatur ea, in quâ mouente ſe integrâ decuriâ, virorum ſcilicet XVI, alia ſimilis decuria eam pone ſequitur, quãobrem etiam Homœoſtomus appellata eſt, quod qui ſe mutuo ſequuntur, in eadem forma id faciant. Hæc Plinthio opponitur. Dicitur Plinthium, agmen æquilaterum & formâ, & numero. ac formâ quidem, quia vndiquaque æqualia continet ſpatia: numero vero, quia quotquot habet in longitudine, totidem etiam in altitudine. In tali formâ a quatuor lateribus armati conſtituuntur, nec arcute, nec funditore lateribus operam ſubſidiariam nauante Conſtat autem hoc Plinthium e duabus dimœrijs (dimidia enim decuria, dimœria vocatur). Cum enim debeat integra decuria viros habere XVI, dimœria VIII habet. Quando vero Phalanges iuxta ſe mutuo incedentes aut in dextrâ Paragoge Duces ſuos habent, aut in ſiniſtra, tunc dicitur Homœoſtomus Diphalangia.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

	p	p	p	p	p	p	p	p	p	p	
	p	p	p	p	p	p	p	p	p	p	
Phalanx	d	d	d	d	d	d	d	d	d	d	Φάλαγξ
Homoioſtomus.	d	d	d	d	d	d	d	d	d	d	ὁμοιόστομος.

Frons. στόμα.

	d	d	d	d	d	d	d	d	
	p	d	d	d	d	d	d	p	
Plinthium agmen.	p	d	d	d	d	d	d	p	
	p	d	d	d	d	d	d	p	Πλίνθιον.
	p	d	d	d	d	d	d	p	
	p	d	d	d	d	d	d	p	
	p	d	d	d	d	d	d	p	
	p	d	d	d	d	d	d	d	

CAP. XLII.

De Heteroſtomo Phalange.

HEteroſtomus Phalanx dicitur ea, quæ per Epagogen incedens præcedentis agminis Duces, vt par eſt, in dextrâ habet Paragoge, ſequentis in ſiniſtrâ, ita vt ipſa amina alternatim in itinere progrediantur, quorum alterum in alterutrâ parte Duces ſuos habet, alterum in alterâ; ac ſimiliter reliqua.

ΚΕΦ. μβ΄.

Περὶ Ἑτεροστόμου Φάλαγγος.

Ἥτις κατ᾽ ἐπαγωγὴν πορευομένη τοῦ μὲν ἡγουμένου τάγματος τοὺς ἡγεμόνας ἔχει, ὡς εἰκὸς, ἐν δεξιᾷ παραγωγῇ, τοῦ δὲ εὐωνύμου ἐν εὐωνύμῳ πορεύεται τὰ συντάγματα ἐναλλὰξ τὸ μὲν ἔχον ἐν θατέρῳ μέρει τοὺς ἡγεμόνας, τὸ δὲ ἐν ἄλλῳ. καὶ ὁμοίως τὰ λοιπά.

Φά-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

φάλαγξ ἑτερόστομος.

d d D
d d D
d d D
d d D
d d D
d d D
d d D
d d D
d d D
d d D

D d d
D d d
D d d
D d d
D d d
D d d
D d d
D d d
D d d
D d d

KEΦ. μγ´.

Περὶ ἱππικῆς ῥομβοειδοῦς ἴλης, καὶ ἀντιτεταγμένης αὐτῇ φάλαγγος μηνοειδοῦς.

Ταύτην πρῶτος ἰλέων εὗρεν ὁ Θεσσαλὸς, ὅθεν καὶ ἴλη ἐκ τοῦ ὀνόματος αὐτοῦ κέκληται. καὶ πρὸς αὐτὸ τὸ σχῆμα Θεσσαλοὺς πάντας ἐγύμνασεν. ἐστὶ δὲ χρήσιμον, ἐπειδὴ καθ' ἑκάστην γωνίαν ἔχει στρατηγὸν τεταγ-

Phalanx Heteroſtomus.

D d d
D d d
D d d
D d d
D d d
D d d

d d D
d d D
d d D
d d D
d d D
d d D

CAP. XLIII.


De Equeſtri Turmâ Rhombi-formi, & oppoſitâ ei Phalange Luni-formi.

TVrmam Rhombi-formem, eam primus Ileon Theſſalus inuenit. vnde & vox ἴλη de nomine eius vocata eſt. atque ad iſtam formam omnes Theſſalos exercuit. Vtilis autem ea eſt, quoniam in ſingulis angulis præfectum habet conſtitutum. primum

quidem Ilarcham, poſtremum vero Tergiducem, ac vtrimque Plagiophylacas, hoc eſt, laterum cuſtodes. In pugnâ huic opponitur Menoeides, ſeu Lunaris Phalanx, cornua præcedentia habens, inque ijs Duces ſuos, ac in medio cauam ſſe oſtendens, compoſita in hoc, vt equeſtrem manum circumueniat, vnde equites in morem Tarantinorum Acroboliſtarum eminus iaculantur; circularem ipſorum acceſſum diſturbantes. Tarentum enim vrbs eſt Calabriæ, cuius miles, Acriboliſta vocatus eſt, quod ex equis parua iacula mittet, ac deinde conſertis manibus ad pugnam veniat.

μένον, πρῶτον μὲν τὴν ἰλάρχην, τελευταῖον δὲ τὸν οὐραγὸν, ἑκατέρωθεν δὲ τοὺς πλαγιοφύλακας. ἀντιμάχεται δὲ πρὸς ταύτην ἡ Μηνοειδὴς, τὰ κέρατα ἔχουσα προπορευόμενα, καὶ ἐν αὐτοῖς τοὺς ἡγεμόνας τὸ μέσον κοιλαίνουσα, πρὸς τὸ κυκλῶσαι τὴν ἱππικὴν δύναμιν παρεσκευασμένην. ὅθεν οἱ ἱππεῖς κατὰ τὸ τῶν ταραντίνων ἀκροβολισμῶν σχῆμα πόῤῥωθεν ἀκοντίζουσι τὴν κυκλικὴν πορείαν αὐτῶν ἀναστέλλοντες. τάρας γὰρ πόλις Σικελίας, ἧς ὁ στρατιώτης, ἀκροβολιστὴς κέκληται, διὰ τὸ ἀπὸ ἵππων μικρὰ πέμπειν ἀκόντια καὶ μετέρχεσθαι συμπληγάδην.

Turma equitum Rhombi-formis.



Phalanx peditum Luni-formis, ſeu Lunaris.

ΚΕΦ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ΚΕΦ. μδ΄.

Περὶ ἴλης ἱππέων ἑτερομήκους, καὶ ἀντικειμένης αὐτῇ πεζικῆς φάλαγγος πλαγίας.

Ἥτις ἔχει διπλάσιον τὸ βάθος τοῦ μήκους. ἐστὶ δὲ ἀναγκαία κατὰ πλείονας τρόπους. καὶ γὰρ ἀπατῆσαι πολεμίους ὀλίγοι εἰσὶν οἱ ἐν ταύτῃ, διὰ τὸ μὴ κατέχειν πλάτος, καὶ διακόψαι παρατεταγμένως πολεμίαν δύναμιν εὐκόλως δύναται τῇ πυκνώσει, καὶ τῇ ῥώμῃ τοῦ καταστάγματος. καὶ διὰ στενῆς δὲ χώρας ἱκανὴ παρελθεῖν ἀνεπαισθήτως. ἀντίκειται δὲ αὐτῇ πεζικὴ δύναμις, ἡ καλεῖται πλαγία φάλαγξ. μηκύνει γὰρ ἑαυτὴν εἰς πλάτος, ἵνα κἂν διακόπτηται, ὀλίγον ᾖ τὸ βάθος τὸ διακοπτόμενον. καὶ ἡ τῶν ἱππέων τόλμα μὴ εἰς ἐκφέρηται. διὰ τοῦτο γὰρ καὶ πολλαπλάσιον ἔχει τὸ βάθος τοῦ μήκους.

CAP. XLIV.

De Turmâ Equitum oblongâ, & quæ illi opponitur, Phalange Peditum Tranſuerſâ.

PRimum, vt par erat, aciem conſtruebat [*Epaminondas*] Id autem agens palam indicare videbatur, quod ad pugnam ſe compararet. Poſtea quam ipſi exercitus ex animi ſententia inſtructus eſſet, in hoſtes eum non duxit, quo poterat viæ compendio; ſed ad montes Tegeæ occaſum verſus, ac ex oppoſito ſitos ductabat. Vnde opinionem hoſtibus iniecit, ac ſi eo die prælium facturus non eſſet. Et enim, vt ad montem venerat, cum Phalangem explicaſſet, ſub excelſioribus locis arma ponit, quaſi videretur caſtra metaturus. Eo facto pleriſque hoſtium ſimul, quam animis pugnæ capeſſendæ conceperant ſpem exemit, ſimul etiam inſtructæ aciëi apparatum diſſoluit. Interim cum, deductis in frontem militibus, qui in cornu incedebant, cuneum iuxta ſe validum feciſſet; tum verò arma reſumere ſuis iuſſit. Ipſe verò præcedebat, illi ſequebantur. At hoſtes cum præter opinionem viderent illos in ſeſe euntes, nemo quieti locum dare potuit. nam alij ad ordines ſuos currebant: alij ſeſe inſtruebant. alij equos frænabāt: alij loricas induebant: adeoque omnes magis cladem accepturis, quam illaturis ſimiles erant. *Epaminondas* autem


Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ar trire-
bat, au-
preſſione
n aduer-
aturum:
rum co-
mittere
longius
vincere-
animum
fiduci-
que au-
um in-
m gra-
ontinuâ
ditibus.
n etiam
ijs ad-
um per-
rum ex-
modum
qui ma-
aliquos
t vt ne
rnu o-
nnullis
ijs tum
tos Pe-
n inijce-
go ipſos
nodo &
me fru-
hoſtem
totum
fugam
it , cæ-
us non
hoſtili
quem-
tes , ne-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Pugna a
de

ΠΡῶ
συ
σαφηνίζειν
σκευάζετο.
τὸ στράτευμ
τομωλάτην
ἦγε, περὶ
Τεγέας κα
ξαν παρεῖ
ζασθαι μά
γὰρ δὴ ὡς
τάθη αὐτῶ
ψηλοῖς ἔθ
στρατοπεδε
ἔλυζε μὲν
ἐν ταῖς ψυ
σκευὴν, ἐλι
εστιν. ἐπεὶ γ
κέρως πορ
πον, ἰσχυρ
τὸν ἔμβολο
ραγγείλας
ἠκολούθουν
παρὰ δόξα
ζυχίαν ἔχε
θεον εἰς τὰ
πονto, οἱ δὲ
θώρακας ἐ
μένοις τι μ
ζαν. ὁ δὲ τ



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10


ὥσπερ τριήρη προσῆγε, νομίζων, ὅπη ἐμβαλὼν διακόψειε, διαφθερεῖν ὅλον τὸ τῶν ἐναντίων στράτευμα. καὶ γὰρ δὴ τῷ μὲν ἰσχυροτάτῳ παρεσκευάζετο ἀγωνίζεσθαι, τὸ δὲ ἀσθενέστατον πόρρω ἀπέστησεν, εἰδὼς ὅτι ἡττηθὲν ἀθυμίαν ἂν παράσχοι τοῖς μεθ' αὐτοῦ, ῥώμην δὲ τοῖς πολεμίοις. καὶ μὴν τοὺς ἱππέας οἱ μὲν πολέμιοι αὐτοὶ παρετάξαντο ὥσπερ ὁπλιτῶν φάλαγγος (φάλαγγα alij) βάθος ἑξῆς, καὶ ἔρημον πεζῶν ἁμίππων. ὁ δ' Ἐπαμινώνδας αὖ καὶ τοῦ ἱππικοῦ ἔμβολον ἰσχυρὸν ἐποιήσατο, καὶ ἁμίππους πεζοὺς συνέταξεν αὐτοῖς, νομίζων τὸ ἱππικὸν ἐπεὶ διακόψειεν, ὅλον τὸ ἀντίπαλον νενικηκὼς ἔσεσθαι. μάλα γὰρ χαλεπὸν εὑρεῖν τοὺς ἐθελήσοντας μένειν, ἐπειδάν τινας φεύγοντας τῶν ἑαυτοῦ ὁρῶσι. καὶ ὅπως μὴ ἐπιβοηθῶσιν οἱ Ἀθηναῖοι ἀπὸ τοῦ εὐωνύμου κέρατος ἐπὶ τὸ ἐχόμενον, κατέστησεν ἐπὶ γηλόφων τινῶν ἐναντίους αὐτοῖς καὶ ἱππέας καὶ ὁπλίτας, φόβον βουλόμενος καὶ τούτοις παρέχειν, ὡς, εἰ βοηθήσαιεν, ὄπισθεν οὗτοι ἐπικείσοιντο αὐτοῖς. τὴν μὲν δὴ συμβολὴν οὕτως ἐποιήσατο. καὶ οὐκ ἐψεύσθη τῆς ἐλπίδος. κρατήσας γὰρ ᾗ προσέβαλλεν, ὅλον ἐποίησε φεύγειν τὸ τῶν ἐναντίων. ἐπεί γε μὲν ἐκεῖνος ἔπεσεν, οἱ λοιποὶ οὐδὲ τῇ νίκῃ ὀρθῶς ἔτι ἐδυνάσθησαν χρήσασθαι, ἀλλὰ φευγούσης μὲν αὐτοῖς τῆς ἐναντίας φάλαγγος, οὐδένα ἀπέκτειναν οἱ ὁπλῖται, οὐδὲ προῆλθον ἐκ τοῦ

autem exercitum ſuum inſtar triremis aduorſo roſtro inducebat, autumans, quacumque impreſſione factâ perrumperet, ſe totum aduerſariorum exercitum diſſipaturum: nam cum robuſtiſſimâ ſuarum copiarum parte prælium committere paratus erat, infirmiore longius remotâ: quod ſciret, ſi ea vinceretur, ijs, qui ſecum erant, animum deiectum, hoſtibus autem fiduciam, roburque additum atque auctum iri. Hoſtes equitem ſuum inſtruxêre, perinde ac peditum grauis armaturæ Phalangem, continuâ altitudine, ac deſtitutum Peditibus. Epaminondas vero Equitum etiam facto Cuneo firmo Pedites ijs adiunxit, exiſtimans, ſi equitatum perrupiſſet, totum aduerſariorum exercitum ſuperatum iri. Admodum enim difficile eſt, inuenire qui manere velint, cum ſuorum aliquos fugientes conſpiciunt. Et vt ne Athenienſes a ſiniſtro cornu opem ferrent proximis, in nonnullis collibus conſtituit aduerſos ijs tum equites, tum grauiter armatos Pedites, cupiens & illis metum inijcere, vt ſi ſuccurrerent, a tergo ipſos hi inuaderent. Atque hoc modo & conflixit, & ſpes eum minime fruſtrata eſt. nam quâ parte hoſtem adortus eſt, ſuperior factus totum ad verſariorum exercitum in fugam dedit. Vt vero ipſe occubuit, cæteri rectè victoriâ vti amplius non potuêre. quippe fugiente hoſtili Phalange neque occiderunt quemquam gravis armaturæ Pedites, ne-

χωρίου ἔνθα ἡ συμβολὴ ἐγένετο. φυγόντων δ' αὐτοῖς καὶ τῶν ἱππέων, ἀπέκτειναν μὲν οὐδ' οἱ ἱππεῖς διώκοντες οὔτε ἱππέας, οὔθ' ὁπλίτας· ὥσπερ δὲ ἡττώμενοι, πεφοβημένως διὰ τῶν φευγόντων πολεμίων διέπεσον. καὶ μὴν οἱ ἄνιπποι καὶ οἱ πελτασταὶ συννενικηκότες τοῖς ἱππεῦσιν, ἀφίκοντο ἐπὶ τοῦ εὐωνύμου, ὡς κρατοῦντες, ἐκεῖ δ' ὑπὸ τῶν Ἀθηναίων οἱ πλεῖστοι αὐτῶν ἀπέθανον.

que e loco progreſſi ſunt, in quo prælium commiſſum erat. Sed neque ex Equitatu in fugam verſo neque Peditatu quemquam Equites ipſi perſequendo interfecêre: verum ac ſi ipſi victi fuiſſent, pauidè per fugientes hoſtes elabebantur. Pedites, & Peltaſtæ, qui vna cum Equitibus vicerant, ad Læuum cornu contendebant, ac ſi ea quoque pars victoriâ potiretur. Ibi autem ab Athenienſibus plerique eorum trucidati ſunt.

Pugna




:ripta

vt in-
umſit,
; con-
ıul ca-
ie eas,
ıuium
ıutem,
; hiſce
ectum
ıactus.
lumen
. His
ngitu-
ım an-
ıc lon-
ıhorti-
s. So-
m cor-
:m co-
inter-
Auxili-
oginta
us ſex
eodem
ctarios
ıijs an-
caſtris
atque
:. Col-
ı Ibe-
ınis E-

ὶ διτ-
μὲν τὸν
ωμαίων

χωρί
γόνῖωι
κλειναι
ἔτε ἱπ
ἡ τῖώμ
φευγ
οἱ ἀνι
κότες
ἐυωνύ
τῶν᾽ ι
θανο



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Pugna Romanorum, & Carthaginenſium ad Cannas, deſcripta a Polybio Hiſtoriarum lib. III.

Ὁ δὲ Γάϊος ἅμα τῷ παραλαβεῖν τὴν κατὰ πόδας ἡμέραν τὴν ἀρχὴν, ἄρτι τῆς κατὰ τὸ ἥλιον ἀνατολῆς ἐπιφαινομένης, ἐκίνει τὴν δύναμιν ἐξ ἑκατέρας τῆς παρεμβολῆς. καὶ τοὺς μὲν ἐκ τοῦ μείζονος χάρακος διαβιβάζων τὸν ποταμὸν εὐθέως παρενέβαλε. τοὺς δὲ ἐκ θατέρου συνάπτων τούτοις ἐπὶ τὴν αὐτὴν εὐθεῖαν ἐξέταττε, λαμβάνων πᾶσαν τὴν ἐπιφάνειαν τὴν πρὸς μεσημβρίαν. τοὺς μὲν οὖν τῶν Ῥωμαίων ἱππεῖς παρ' αὐτὸν τὸν ποταμὸν ἐπὶ τοῦ δεξιοῦ κέρατος κατέστησε, τοὺς δὲ πεζοὺς συνεχεῖς τούτοις ἐπὶ τῆς αὐτῆς εὐθείας ἐξέτεινε, πυκνοτέρας ἢ πρόσθεν τὰς σημαίας καθιστάνων, καὶ ποιῶν πολλαπλάσιον τὸ βάθος ἐν ταῖς σπείραις τοῦ μετώπου. τοὺς δὲ τῶν συμμάχων ἱππεῖς εἰς τὸ λαιὸν κέρας παρενέβαλε. πάσης δὲ τῆς δυνάμεως προέστησαν τοὺς εὐζώνους ἐν ἀποστάσει. ἦσαν δὲ σὺν τοῖς συμμάχοις πεζῶν μὲν εἰς ὀκτὼ μυριάδας, ἱππεῖς δὲ μικρῷ πλείους τῶν ἑξακισχιλίων. Ἀννίβας δὲ κατὰ τὸν αὐτὸν καιρὸν τοὺς μὲν Βαλεαρεῖς, καὶ λογχοφόρους διαβιβάσας τὸν ποταμὸν, προεβάλετο τῆς δυνάμεως. τοὺς δὲ λοιποὺς ἐξαγαγὼν ἐκ τοῦ χάρακος καὶ περαιώσας κατὰ διττοὺς τόπους τὸ ῥεῖθρον ἀνετάττετο τοῖς πολεμίοις. ἐτίθει δὲ ἐπ' αὐτὸν μὲν τὸν ποταμὸν ἐπὶ τῶν εὐωνύμων τοὺς Ἴβηρας καὶ Κελτοὺς, ἀντίους τοῖς Ῥωμαίων

CAius verò Terentius, vt inſequẽs dies initium ſumſit, vix dum exortu Solis conſpicuo, ex utriſque ſimul caſtris copias mouebat, atque eas, quæ e maioribus erant, fluuium traijciens ilico inſtruxit: eas autem, quæ e minoribus, coniunctas hiſce eadem fronte ordinauit, aſpectum omnem Meridiem verſus nactus. Romanos Equites ad ipſum flumen in dextro coruu conſtituit. His coniunctos Pedites eadem longitudine extendit, denſiores, quam ante, manipulos conſtituens, ac longitudine altitudinem in cohortibus multo maiorem efficiens. Sociorum vero Equites ad læuum cornu ſtatuunt. Omnibus autem copijs leuem armaturam aliquo interuallo præpoſuit. quæ cum Auxiliaribus Peditum erant ad octoginta mille, Equites paulo amplius ſex mille. Hannibal quoque eodem tempore Baleares, ac Sagittarios fluuium traduxit, ſuiſque copijs antepoſuit. reliquos eductos caſtris duobus locis flumen traiecit, atque inſtructos hoſtibus oppoſuit. Collocabat autem iuxta fluuium Iberas ac Celtas aduerſos Romanis E-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ἱππεῦσι. συνεχεῖς δὲ τούτοις, πεζοὺς τοὺς ἡμίσεις τῶν ἐν τοῖς βαρέσι καθοπλισμοῖς Λιβύων. Ἑξῆς δὲ τοῖς εἰρημένοις Ἴβηρας καὶ Κελτούς. παρὰ δὲ τούτοις τὸ λοιπὸν μέρος ἔθηκε τῶν Λιβύων. ἐπὶ δὲ τοῦ δεξιοῦ κέρως ἐπέταξε τοὺς Νομαδικοὺς ἱππεῖς. ἐπεὶ δὲ πάντ' ἐπὶ μίαν εὐθεῖαν ἐξέτεινε, μετὰ ταῦτα λαβὼν τὰ μέσα τῶν Ἰβήρων καὶ Κελτῶν τάγματα προῆγε. καὶ τ' ἄλλα τούτοις ἐκ τοῦ κατὰ λόγον παρισταῖαι ζυγοῦντα, μηνοειδὲς ποιῶν τὸ κύρτωμα, καὶ λεπτύνων τὸ τούτων αὐτῶν σχῆμα. βουλόμενος ἐφεδρείας μὲν τάξιν ἐν τῇ μάχῃ Λίβυας αὐτῶν ἔχειν, προκινδυνεῦσαι δὲ τοῖς Ἴβηρσι καὶ Κελτοῖς. ἦν δὲ ὁ καθοπλισμὸς τῶν μὲν Λιβύων Ῥωμαϊκός. οὓς πάντας Ἀννίβας ἐν τοῖς τῆς προγεγενημένης μάχης σκύλοις ἐκλέξας κατακεκοσμήκει. τῶν δ' Ἰβήρων καὶ Κελτῶν ὁ μὲν θυρεὸς ἦν παραπλήσιος, τὰ δὲ ξίφη τὴν ἐναντίαν εἶχε διάθεσιν. * τῆς μὲν γὰρ οὐκ ἔλαττον τὸ κέντημα τῆς καταφορᾶς ἴσχυε πρὸς τὸ βλάπτειν. ἡ δὲ Γαλατικὴ μάχαιρα μίαν εἶχε χρείαν τὴν ἐκ καταφορᾶς. καὶ αὐτὴν ἐξ ἀποστάσεως. ἐναλλὰξ ταῖς σπείραις αὐτῶν παρατεταγμένων. καὶ τῶν μὲν Κελτῶν γυμνῶν, τῶν δ' Ἰβήρων λινοῖς περιπορφύροις χιτωνίσκοις κεκοσμημένων κατὰ τὰ πάτρια, ξενίζουσαν ἅμα καὶ καταπληκτικὴν συνέβαινε γίνεσθαι τὴν πρόσοψιν. ἦν δὲ τὸ μὲν τῶν ἱππικῶν πλῆθος τὸ σύμπαν τοῖς Καρχηδό-

quitibus : quibus proximè adiunxit dimidiam Peditum partem, Afros grauis armaturæ. deinde iam dictis Hiſpanos ac Gallos, atque his reliquam Afrorum partem appoſuit. Ad dextrum cornu Numidas Equites adiunxit. Poſtquam vero omnes in vnam rectamque frontem extendit, tum deinde acceptis Iberorum ac Celtarum, qui medij erant, agminibus progreſſus eſt. ac reliquis, quæ cum ijs iugum faciebant, pro ratione ſuccedentibus, Lunarum gibboſitatem efficiebat, horumque ipſorum formam attenuabat. volebat enim Afros ſubſidij ordinem in prælio obtinere, atque ante ipſos diſcrimen ſubire prius Hiſpanos, ac Gallos. Erat vero Afrorum armatura Romanorum ſimilis. nam eos omnes ex ſpolijs præcedentium præliorum electos ita adornârat Hannibal. Iberorum ac Celtarum ſcutum eiuſdem pene formæ erat, at gladij diuerſimodè ſe habebant. illi enim non minus punctim quam cæſim lædere poterant. Gallicus vero enſis, unicum tantum vſum præſtabat cædendo. Illi ergo cum alternis cohortibus aliquo ſpatio iuxta ſe conſtituti, ac Celtæ nudi, Iberes lineis tunicis purpurâ intextis more patrio eſſent ornati, id aſpectum nouum ſimul ac formidabilem exhibebat. Erat porro Equitum multitudo Carthaginienſibus to-

ta ad

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

νιοις εἰς μυριάδας. τὸ δὲ τῶν πεζῶν οὐ πολὺ πλεῖον τετρακισμυρίων σὺν τοῖς Κελτοῖς. εἶχε δὲ τὸ μὲν δεξιὸν τῶν Ῥωμαίων Αἰμίλιος· τὸ δὲ εὐώνυμον Γάϊος· τὰ δὲ μέσα Μάρκος καὶ Γνήϊος, οἱ τῷ πρότερον ἔτει στρατηγοῦντες. τῶν δὲ Καρχηδονίων τὸ μὲν εὐώνυμον Ἀσδρούβας εἶχε· τὸ δὲ δεξιὸν Ἄννων. ἐπὶ δὲ τοῖς μέσοις αὐτὸς ἦν Ἀννίβας, ἔχων μεθ' ἑαυτοῦ Μάγωνα τὸν ἀδελφόν. βλεπούσης δὲ τῆς μὲν τῶν Ῥωμαίων τάξεως πρὸς μεσημβρίαν, ὡς ἐπάνω προεῖπον, τῆς δὲ τῶν Καρχηδονίων πρὸς τὰς ἄρκτους, ἑκατέροις ἀβλαβῆ συνέβαινε γίνεσθαι τὴν κατὰ τὸν ἥλιον ἀνατολήν. γενομένης δὲ τῆς συμπλοκῆς τῆς πρώτης ἐκ τῶν προτεταγμένων, τὰς μὲν ἀρχὰς αὐτῶν τῶν εὐζώνων ἔπισος ἦν ὁ κίνδυνος· ἅμα δὲ τῷ τοὺς Ἴβηρας καὶ Κελτοὺς ἱππεῖς ἀπὸ τῶν εὐωνύμων πελάσαι τοῖς Ῥωμαίοις ἐποίουν οὗτοι μάχην ἀληθινὴν καὶ βαρβαρικήν. οὐ γὰρ ἦν κατὰ νόμους ἐξ ἀναστροφῆς καὶ μεταβολῆς ὁ κίνδυνος· ἀλλ' εἰσάπαξ συμπεσόντες ἐμάχοντο συμπλεκόμενοι κατ' ἄνδρα καταβαίνοντες ἀπὸ τῶν ἵππων· ἐπεὶ δὴ δὲ ἐκράτησαν οἱ παρὰ τῶν Καρχηδονίων, καὶ τοὺς μὲν πλείστους ἀπέκτειναν ἐν τῇ συμπλοκῇ, πάντων ἐκθύμως καὶ γενναίως διαγωνιζομένων τῶν Ῥωμαίων τοὺς δὲ λοιποὺς ἤλαυνον κατὰ τὸν ποταμὸν φονεύοντες, καὶ προσφέροντες τὰς χεῖρας ἀπαραιτήτως, τότε δὲ τὰ πεζικὰ στρατόπεδα διαδεξάμενοι τοὺς εὐζώνους συνέπεσεν ἀλλήλοις·

ta ad x mille, Peditum non ſupra xl mille, vna cum celtis. Dextrum Romanorum tenebat Æmilius, Læuum Caius. Mediam aciem Marcus & Cneius ducebant, qui ſuperiori anno exercitui imperârant. Carthaginienſium læuum Aſdrubal habebat, dextrum Hanno. In media acie erat ipſe Hannibal, habens ſecum fratrem ſuum Magonem. Cum vero Romanorum acies in meridiem ſpectaret, ut ſupra dixi, ac Carthaginienſium in ſeptemtriones, contigit utriſque ſolis exortum nihil officere. Primo itaque conflictu a Velitibus facto, qui præpoſiti erant, initio quidem æquale erat certamen. Sed ſimul ac Iberi Celtæque Equites a læuâ cum Romanis congrediebantur, fiebat ab ipſis vera barbarica pugna. non enim certamen erat ſecundum leges militares ex Reuerſione, ac Immutatione: ſed ſimul ac ſemel impetu facto, ac pariter ab equis deſultu, conſertâ manu præliabantur. Poſteaquam vero Carthaginienſium Equites ſuperiores fuêre, ac pleroſque Romanorum, qui cuncti animoſe ac ſtrenuè pugnabant, in conflictu interfecêre, reliquoſq; fugatos ad ipſum flumen occidere, manuſq; inexecrabiliter intulêre: tũc Pedeſtres copiæ Velitibus ſuccedentes, inter ſeſe concurrêre.

ἐπὶ βραχὺ μὲν οὖν τῶν Ἰβήρων καὶ τῶν Κελτῶν ἔμενον αἱ τάξεις, καὶ διεμάχοντο τοῖς Ῥωμαίοις γενναίως. μετὰ δὲ ταῦτα τῷ βάρει θλιβόμενοι κλίνοντες ὑπεχώρουν εἰς τοὐπίσω λύσαντες τὸν μηνίσκον. αἱ δὲ τῶν Ῥωμαίων σπεῖραι κατὰ τὴν ἐκθυμίαν ἑπόμεναι τούτοις διέκοψαν ῥαδίως τὴν τῶν ὑπεναντίων τάξιν. ἅτε δὴ τῶν μὲν Κελτῶν ἐπὶ λεπτὸν ἐκτεταγμένων. αὐτοὶ δὲ πεπυκνωκότες ἀπὸ τῶν κεράτων ἐπὶ τὰ μέσα, καὶ τὸν κινδυνεύοντα τόπον. οὐ γὰρ ἅμα συνέβαινε τὰ κέρατα καὶ τὰ μέσα συνάπτειν, ἀλλὰ πρῶτα τὰ μέσα διὰ τοὺς Κελτοὺς ἐν μηνοειδεῖ σχήματι τεταγμένους πολὺ προπεπτωκέναι τῶν κεράτων. ἅτε τοῦ μηνίσκου τὸ κύρτωμα πρὸς τοὺς πολεμίους ἔχοντος. πλὴν ἑπόμενοι γε τούτοις οἱ Ῥωμαῖοι, καὶ συντρέχοντες ἐπὶ τὰ μέσα, καὶ τὸν εἴκοντα τόπον τῶν πολεμίων, οὕτως ἐπὶ πολὺ προέπεσον, ὥστ' ἐξ ἑκατέρου τοῦ μέρους κατὰ τὰς ἐκ τῶν πλαγίων ἐπιφανείας τοὺς Λίβυας αὐτῶν γενέσθαι τοὺς ἐν τοῖς βαρέσι καθοπλισμοῖς. ὧν οἱ μὲν ἀπὸ τοῦ δεξιοῦ κέρατος κλίναντες ἐπ' ἀσπίδα, καὶ τὴν ἐμβολὴν ἐκ δόρατος ποιούμενοι παρείσαντο παρὰ πλευρὰν τοῖς πολεμίοις. οἱ δ' ἀπὸ τῶν εὐωνύμων ἐπὶ δόρυ ποιούμενοι τὴν κλίσιν ἐξ ἀσπίδος ἐπιπαρενέβαλον, αὐτοῦ τοῦ πράγματος ὃ δέον ἦν ποιεῖν ὑποδεικνύντος. ἐξ οὗ συνέβη κατὰ τὴν Ἀννίβου πρόνοιαν μέσους ἀποληφθῆναι τοὺς Ῥωμαίους ὑπὸ τῶν Λιβύων, κατὰ τὴν ἐπὶ τοὺς Κελτοὺς παράπτωσιν. οὗτοι μὲν οὐκ ἔτι φαλαγγηδὸν, ἀλλὰ καθ'

Et quidem alioquo vſque Iberorum ac Celtarum ordinem integri manebat, ac ſtrenue depugnabant. at poſt paulo pondere preſſi Lunari ſuâ formâ ſoluta ceſsêre, ac pedem retulere. Romanorum vero Cohortes addito inde ipſis animo hos inſequentes facilè aduerſariorum ordinem perrupêre, vtpote Celtarum acie rariore, ac tenuiore, ipſis vere a cornubus ad media ac pugnæ locum denſioribus exiſtentibus. nec enim cornua, ac media acies ſimul concurrebant: ſed primo media, propter Celtas lunari formâ ordinatos, multum ante cornua irruebat, quod Lunaris formæ gibberum hoſtibus aduerſum eſſet. At enim Romani hos inſequendo concurrentes ad mediam aciem, atque eum locum, vbi hoſtis cedebat, eouſque proruebant, vt vtrimque, Afri grauis armaturæ ab vtroque latere ipſis apparerent. Quorum alij a dextro cornu in Clypeum declinantes impetum ex haſtâ faciebant: alij vero a Læuo in haſtam factâ declinatione e clypeo in eos irruebant, re ipſâ quod facto erat opus oſtendente. vnde evenit, vt, quod prudenter Hannibal præuiderat, ab Afris in iſtâ Celtarum perſecutione concluderentur Romani. Hi ergo iam non amplius confertim in morem Phalan-

gis,

ἄνδρα, καὶ σπείρας στρεφόμενοι πρὸς τοὺς ἐκ τῶν πλαγίων προσπεπτωκότας ἐποιοῦντο τὴν μάχην. Λεύκιος δὲ καίπερ ὢν ἐξ ἀρχῆς ἐπὶ τοῦ δεξιοῦ κέρατος, καὶ μετασχὼν ἐπὶ τοῦ τῶν ἱππέων ἀγῶνος, ὅμως ἔτι τότε διεσώζετο. βουλόμενος δὲ τοῖς κατὰ τὴν παράκλησιν λόγοις ἀκολούθως ἐπ' αὐτῶν γίνεσθαι τῶν ἔργων, καὶ θεωρῶν τὸ συνέχον τῆς κατὰ τὸν ἀγῶνα κρίσεως ἐν τοῖς πεζικοῖς στρατοπέδοις κείμενον, παριππεύων ἐπὶ τὰ μέσα τῆς ὅλης παρατάξεως, ἅμα μὲν αὐτὸς συνεπλέκετο, καὶ προσέφερε τὰς χεῖρας τοῖς ὑπεναντίοις, ἅμα δὲ παρεκάλει, καὶ παρώξυνε τοὺς παρ' αὐτοῦ στρατιώτας. τὸ δὲ παραπλήσιον Ἀννίβας ἐποίει. καὶ οὗτος ἐξ ἀρχῆς ἐπὶ τούτοις τοῖς μέρεσιν ἐπέστησε τῆς δυνάμεως. οἱ δὲ Νομάδες ἀπὸ τοῦ δεξιοῦ κέρατος προσπίπτοντες τοῖς ὑπεναντίοις ἱππεῦσι, τοῖς ἐπὶ τῶν εὐωνύμων τεταγμένοις, μέγα μὲν οὔτ' ἐποίουν, οὔτ' ἔπασχον διὰ τὴν ἰδιότητα τῆς μάχης. ἀπράκτους γε μὴν τοὺς πολεμίους παρεσκεύαζον, περισπῶντες, καὶ πανταχόθεν προσπίπτοντες. ἐπεὶ δὲ οἱ περὶ τὸν Ἀσδρούβαν ἀποκτείναντες τοὺς περὶ τὸν ποταμὸν ἱππεῖς, πλὴν παντελῶς ὀλίγων, παρεβοήθησαν ἀπὸ τῶν εὐωνύμων τοῖς Νομάσι, τότε προϊδόμενοι τὴν ἔφοδον αὐτῶν οἱ σύμμαχοι τῶν Ῥωμαίων ἱππεῖς ἐγκλίναντες ἀπεχώρουν. ἐν ᾧ καιρῷ πραγματικὸν δοκεῖ ποιεῖν, καὶ φρόνιμον ἔργον Ἀσδρούβας. θεωρῶν γὰρ τοὺς Νομά-

gis, ſed viritim, ac per cohortes ſeſe conuertentes cum ijs, qui a lateribus adoriebantur, pugnam faciebant. L. Æmilius etſi ab initio in dextro cornu fuerat, & certamini equitum, quod ab ijs factum, interfuërat, ſaluus tamen adhuc euaſerat. At cupiens non minus ipſa opera, quam verborum adhortatione animum ſuis addere; ac cernens, reputanſque momentum certaminis ſummum in integro Pedeſtris exercitus robore ſitum, verſus medium totius aciei adequitans ſimul ipſe manum cum aduerſarijs conſerebat, ac confligebat, ſimul etiam milites ſuos adhortabatur, & incitabat. Idem faciebat quoque Hannibal. nam & ille a principio hiſce partibus exercitus ſui præfuerat. Numidæ ad dextrum cornu in aduerſos equites irruentes, qui erant ad læuum conſtituti propter pugnæ proprietatem nihil magni neque efficiebant detrimenti, neque patiebantur. hoſtes tamen vndique circumuenientes irritam eorum operam opemque reddidêre. At poſtquam Aſdrubal equites ad fluuium interfeciſſet omnes, (paucis admodum exceptis) atque a læua opem Numidis tuliſſet, tunc præuidentes aduentum eorum Socij Romanorum Equites terga dabant, fugamque capeſſebant. Quo tempore videtur Aſdrubal prudentem iuxta, atque vtilem operam nauaſſe. Conſpicatus

δας τῷ τε πλήθει πολλοὺς ὄντας, καὶ πρακτικωτάτους, καὶ φοβερωτάτους τοῖς ἅπαξ ἐγκλίνασι, τοὺς μὲν φεύγοντας παρέδωκε τοῖς Νομάσι· πρὸς δὲ τὴν τῶν πεζῶν μάχην ἡγεῖτο, σπεύδων παραβοηθῆσαι τοῖς Λίβυσι. προσπεσὼν δὲ Ῥωμαϊκοῖς στρατοπέδοις κατὰ νώτου, καὶ ποιούμενος ἐκ διαδοχῆς ταῖς ἴλαις ἐμβολὰς ἅμα κατὰ πολλοὺς τόπους, καὶ ἐπέῤῥωσε μὲν τοὺς Λίβυας, ἐταπείνωσε δὲ καὶ κατέπληξε τὰς ψυχὰς τῶν Ῥωμαίων. ἐν ᾧ καιρῷ καὶ Λεύκιος Αἰμίλιος, περιπεσὼν νόμῳ, μετήλλαξε τὸν βίον. ἀνὴρ πάντα τὰ δίκαια τῇ πατρίδι κατὰ τὸν λοιπὸν βίον, καὶ κατὰ τὸν ἔσχατον καιρὸν εἰ καί τις ἕτερος ποιήσας. οἱ δὲ Ῥωμαῖοι, μέχρι μὲν ἐμάχοντο κατὰ τὰς ἐπιφανείας στρεφόμενοι πρὸς τοὺς κεκλικότας, ἀντεῖχον. ἀεὶ δὲ τῶν πέριξ ἀπολλυμένων, καὶ κατὰ βραχὺ συγκλειόμενοι, τέλος αὐτοὶ πάντες, ἐν οἷς καὶ Μάρκος, καὶ Γνάϊος, ἔπεσον· οἱ τὸ πρότερον ἔτος ὕπατοι γεγονότες, ἄνδρες ἀγαθοὶ, καὶ τῆς Ῥώμης ἄξιοι γενόμενοι κατὰ τὸν κίνδυνον. κατὰ δὲ τὸν τοῦτον χρόνον καὶ τὴν συμπλοκὴν οἱ Νομάδες ἑπόμενοι τοῖς φεύγουσι τῶν ἱππέων, τοὺς μὲν πλείστους ἀπέκτειναν, τοὺς δὲ κατεκρήμνισαν ἀπὸ τῶν ἵππων. ὀλίγοι δέ τινες εἰς Οὐενουσίαν διέφυγον. ἐν οἷς ἦν καὶ Γάϊος Τερέντιος ὁ τῶν Ῥωμαίων στρατηγός· ἀνὴρ αἰσχρὰν μὲν τὴν ψυχὴν, ἀλυσιτελῆ δὲ τὴν ἀρχὴν

enim Numidas, qui numero multi erant, plurimum prodeſſe, ac maximè formidabiles eſſe ijs, qui ſemel terga verterant, fugientes perſequi Numidis permiſit. ipſe vero ad Peditum pugnam contendit, Afris, quanta potuit celeritate, auxiliatum veniens. qui in Romanas copias a tergo irruens, ac turmis alternis impetum ſimul multis locis faciens, tum Afros confirmauit, tum Romanorum animos deiecit, ac conſternauit. Quo tempore L. Æmilius multis grauibuſque vulneribus confoſſus, vitam cum morte commutauit, vir, qui, ſi quis alius, cum in reliquâ vitâ, tum vltimo eius momento omnia decenter officia patriæ præſtiterat. Romani, quamdiu adverſis aciebus pugnabant, conuerſi in eos, a quibus circumuenti erant, impetum eorum ſuſtinebant. Sed cum ſemper extimi circum circa caderent, ac ſenſim in arctum concluderentur, tandem iſti omnes occubuerunt. inter quos & Marcus & Cneius erant, qui ſuperiore anno conſules fuerant, ac fortes ſeſe in ipſo diſcrimine, dignoſque ciuitate Romanâ præbuerant. Hoc ipſo tempore, & conflictu, Numidæ perſecuti fugientes Romanorum Equites, pleroſque eorum interfecêre, alios ab equo præcipitauêre. Pauci aliquot Venuſium fugâ peruenêre. atque inter eos C. Terentius Romanorum Imperator, vir animi turpis, & qui imperium ſuum Patriæ inutile reddiderat. Hoc quidem

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

τὴν αὐτοῦ τῇ πατρίδι πεποιημένος. ἡ μὲν οὖν περὶ Κάνναν γενομένη μάχη Ῥωμαίων καὶ Καρχηδονίων ἐπετελέσθη τὸν τρόπον τοῦτον. μάχη γενναιοτάτους ἄνδρας ἔχουσα καὶ τοὺς νικήσαντας, καὶ τοὺς ἡττηθέντας. δῆλον δὲ τοῦτ' ἐγένετο ἐξ αὐτῶν τῶν πραγμάτων. τῶν μὲν γὰρ ἑξακισχιλίων ἱππέων ἑβδομήκοντα μὲν εἰς τὴν Οὐενουσίαν μετὰ Γαΐου διέφυγον. περὶ τριακοσίους δὲ τῶν συμμάχων σποράδες εἰς τὰς πόλεις ἐσώθησαν. ἐκ δὲ τῶν πεζῶν μαχόμενοι μὲν ἑάλωσαν εἰς μυρίους. οἱ δ' ἐκτὸς ὄντες τῆς μάχης ἐξ αὐτοῦ τοῦ κινδύνου τρισχίλιοι μόνον ἴσως εἰς τὰς παρακειμένας πόλεις διέφυγον. οἱ δὲ λοιποὶ πάντες, ὄντες εἰς ἑπτὰ μυριάδας, ἀπέθανον εὐγενῶς. τὴν μεγίστην χρείαν παρεσχημένοι τοῖς Καρχηδονίοις εἰς τὸ νικᾶν, καὶ τότε καὶ πρὸ τούτων, ἱππέων ὄχλου. καὶ δῆλον ἐγένετο τοῖς ἐπιγενομένοις, ὅτι κρεῖττόν ἐστι πρὸς τοὺς τῶν πολέμων καιροὺς ἡμίσεις ἔχειν πεζούς, ἱπποκρατεῖν δὲ τοῖς ὅλοις μᾶλλον, ἢ πάντα πάρισα τοῖς πολεμίοις ἔχοντα διακινδυνεύειν.

quidem modo Romanorum & Carthaginienſium ad Cannas pugna peracta eſt. Pugna, in quâ viri fortiſsimi tam victi quam victores exſtitere. id quod res ipſa comprobauit. nam e ſex mille Equitibus ſeptuaginta cum Caio Venuſium perfugêre : trecenti circiter ſociorum ſparſim in vrbes proximas fugientes ſe ſeruauêre. E Peditibus autem, qui Pugnæ intererant, ad x mille capti ſunt. qui vero extra prælium procul a diſcrimine fuerant, forte ter tantum mille in vicinas circum ſecus vrbes fuga ſe recepêre, ac ſeruauêre. Cæteri omnes ad ſeptuaginta mille mortem fortiter oppetiêre. Carthaginienſibus & tunc, & antea maximo ad victoriam momento dato ab Equitum multitudine. nam manifeſtè apparuit, ac poſteris documento fuit, ſatius eſſe ad bellorum momenta, dimidio Peditum numero inferiorem eſſe, atque Equitatu præualere, quam æquali per omnia cum hoſtibus exercitu certaminis diſcrimen ſubire.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Pugna inter Narſetem Perſarum Regem, & Francos, atque Alemanos, deſcripta ab Agathiâ Hiſtoriæ lib. II.

Οἱ μὲν οὖν Ἔρουλοι εὖ μάλα ἐξωπλισμένοι ἐπορεύοντο βάδην ἐν κόσμῳ. Νάρσης δὲ ἐπεὶ ἐν τῷ χώρῳ ἐγεγόνει, οὗ δὴ συμπλέκεσθαι ἔμελλεν, αὐτίκα ἐς φάλαγγα καθίστη τὸν στρατὸν καὶ διέταττεν. οἱ μὲν οὖν ἱππεῖς ἑκατέρωθεν ἐπὶ τῶν ἄκρων τετάχατο, δοράτια φέροντες καὶ πέλτας, τόξα τε καὶ ξίφη παρῃωρημένα. ἦσαν δὲ οἱ καὶ σαρίσας ἐκράτουν. αὐτὸς δὲ ἐπὶ τοῦ δεξιοῦ κέρως εἱστήκει. Ζανδαλᾶς τε ὁ τῶν ὀπαδῶν ἐπιστάτης, τοῦ τε θητικοῦ καὶ οἰκετικοῦ ὁπόσον οὐκ ἀπόλεμον ἦν, ἀλλὰ καὶ οἱ δὲ παρῆσαν. ἐπὶ θάτερα δὲ, οἱ ἀμφὶ Βαλεριανόν τε καὶ Ἀρταβάνην, προστεταγμένον αὐτοῖς ὑποκρύπτεσθαι πρὸς βραχὺ ἀνὰ τὰ λάσια τῆς νάπης, καὶ ἐπειδὰν εἰσβάλοιεν οἱ πολέμιοι, τότε δὴ ἀθρόον αὐτοῖς ἐκ τοῦ ἀφανοῦς ἐπιέναι, καὶ ἀμφιβόλως ποιεῖσθαι. ἅπασαν δὲ μεταξὺ χώραν ὁ πεζὸς εἶχεν. ἔμπροσθεν γὰρ ἐπὶ τοῦ μετώπου οἱ πρωτοστάται θώρακας ποδήρεις ἐνημμένοι, καὶ κράνη καρτερώτατα, τὸν συνασπισμὸν ἐπεποίηντο. ἑξῆς δὲ οἱ ἄλλοι ἐς βάθος ἀλλήλοις ἀνέκειντο, ἕως εἰς τοὺς ἀγροὺς ἐτελεύτα· τὸ δὲ ψιλὸν ἅπαν, καὶ ἑκηβόλον, ὄπισθεν περιέθει καὶ ἀνέμεινε τὸν καιρὸν, ἡνίκα δέοι ἀκροβολίζεσθαι. ἀπεκέκριτο δὲ

Heruli optimè armati pulchro ordine progrediebantur citato gradu. Narſes vero cum iam in loco eſſet, vbi conflicturus erat, ilico exercitum in Phalangem diſpoſuit, atque ordinauit. Equites vtrimque in cornubus collocati erant, haſtas geſtantes, & peltas, item arcus, & dependentes a latere gladios. Erant etiam, qui ſariſſas habebant. Ipſe vero Narſes in dextro cornu conſtitit. Cui Zandalas etiam familiæ præfectus, quotquot domeſticorum ſervorum, ac domeſticorum miniſtrorum bello non inutiles erant, hi quoque aderant. Ad vtrumque latus conſtituti, Valerianus & Artabanes cum ſuis copijs. Iis autem mandatum erat, aliquantisper in denſiore ſyluâ ſeſe occultare, & ſimul ac hoſtes impetum facerent, tunc confertim ex occulto in eos irruere, atque incertam ipſis pugnam facere. At vero Pedites locum omnem intermedium occupabant. nam in ipſa fronte Protoſtatæ induti loricas ad pedes vſque demiſſas, & galeas validiſſimas geſtantes, Synaſpiſmo facto ſtabant. quibus alij per altitudinem innitebantur, dum in agros vſque patentes deſinerent. Tota leuis Armatura, & quotquot eminus præliantur, a tergo ſequebantur, ac tempus jaculandi opportunum exſpectabant.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

τοῖς Ἐρούλοις τόπος, τῆς φάλαγγος τὸ μεσαίτατον, καὶ ἦν ἔτι κενός, οὐ γάρ πω ἐκεῖνοι παρῆσαν. ἐν τούτῳ δὲ ἄνδρες δύο τῶν Ἐρούλων, ἐτύγχανον γὰρ ἤδη ηὐτομοληκότες παρὰ τοὺς πολεμίους ὀλίγῳ ἔμπροσθεν, ὡς καὶ ἀγνοεῖν δή που τὰ ὕστερον τῷ Σινδουὰλ βεβουλευμένα, ἐξωτρυνέτην ἅπαντας τοὺς Βαρβάρους ὡς τάχιστα ἐπιφοιτᾶν τοῖς Ῥωμαίοις. εὑρήσετε γὰρ αὐτούς, ἐφάτην, ταραχῆς τε καὶ ἀκοσμίας ἀναπεπλησμένους, τοῦ μὲν Ἐρουλικοῦ στρατοῦ χαλεπαινόντων, καὶ ξυγκινδυνεύειν ἀναινομένων, τοῦ δὲ ἄλλου πλήθους τῇ ἐκείνων ἀποστάσει καταπεπληγμένου. τούτοις ὁ Βουτιλῖνος ἀνεπέπειστο ῥᾳδίως, τῷ βούλεσθαι οἶμαι ἀληθῆ γε αὐτὰ καθεστάναι. αὐτίκα δὴ οὖν ἐπῆγε τὸν στρατόν, καὶ ἅπαντες ξὺν προθυμίᾳ ἐχώρουν ἰθὺ τῶν Ῥωμαίων, οὐ μὴν ἠρεμαῖοι, οὐδὲ κατὰ κόσμον, ἀλλὰ τοῖς ἀγγέλμασιν ἀνεπτερωμένοι, θορύβῳ εἴχοντο καὶ προπετείᾳ, ὡς αὐτοβοεὶ ἅπαν τὸ ἀντιστατοῦν ἀναρπασόμενοι. ἦν δὲ αὐτοῖς ἡ ἰδέα τῆς παρατάξεως, οἱονεὶ ἔμβολον. δελτωτῷ γὰρ ἐῴκει. καὶ τὸ μὲν ἔμπροσθεν ὁπόσον ἐς ὀξὺ ἔληγε, στεγανόν τε ἦν, καὶ πεπυκνωμένον τῷ πάντοθεν ταῖς ἀσπίσι περιπεφράχθαι, φαίης τε ἂν αὐτοὺς συὸς κεφαλὴν τῇ συνθέσει ἀποτυπώσασθαι. τὰ δὲ σκέλη ἑκατέρωθεν κατὰ στίχους τε καὶ λόχους ἐς βάθος ξυγκείμενα, καὶ ἐπὶ πλεῖστον ἐς τὸ ἐγκάρσιον παραφέρετα-

ctabant. Herulis autem locus Phalangis medius, qui adhuc erat vacuus (nondum enim illi aduenerant) deſignatus fuit. Interea duo ex Herulis, qui iam paulo ante ad hoſtes tranſfugerant, quique ignorabant, quid poſtea conſilij cœpiſſet Sindual, omnes Barbaros incitabant, vt quam ocyſſime Romanos adorirentur. Deprehendetis enim, dicebant, apud eos tumultus ac perturbationis omnia plena: Herulorum copiis difficiles ſeſe præbentibus, atque indignabundè vnà præliari renuentibus, reliqui vero exercitus multitudine illorum defectione conſternatâ. Hiſce Butilinus facilè perſuaſus fidem adhibuit, quod vellet, vt ego quidem exiſtimo, libenter ea vera eſſe, atque ita ſe habere. Confeſtim itaque exercitum ſuum in Romanos induxit, omneſque cum eo alacri animo rectâ in illos ibant, &, non quietè, ac pedetentim aut ordinatè, ſed, allatis nuntiis alas ipſis addentibus, tumultuoſè, ac cum præcipiti temeritate ſequebantur, quaſi ilico primo occurſu quidquid aduerſiorum obuium eſſet diſcerpturi. Erat vero ipſis Aciëi forma, inſtar cunei triangulo ſimilis, ac figuram literæ Græcorum Δ præ ſe ferens. Atque anteriore quidem ſui parte in acutum deſinebat, firma exiſtens, ac denſa, quod vndique clypeis circumſepta eſſet. dixiſſes eos ſuis caput ſtructurâ ſuâ efformaſſe. Alæ, veluti crura, vtrimque ſerietim, ac decariatim per altitudinem coniun-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

μένα, διΐσταντο ἀλλήλων ἠρέμα καὶ ἀπεκέκριντο, καὶ προϊόντα ἐς μέγιστον εὖρος ἀπετελεύτα, ὡς καὶ τὸ μεταξὺ χωρίον κενὸν καθεστάναι, καὶ τὰ νῶτα γυμνὰ τῶν ἀνδρῶν στοιχηδὸν διαφαίνεσθαι. ἀπεστραμμένοι γὰρ σφᾶς αὐτοὺς ἐτύγχανον, ὅπως ἂν τοῖς πολεμίοις ἀντιπρόσωποι εἶεν, καὶ ἐκ τοῦ ἀσφαλοῦς ἀγωνίζοιντο τὰς ἀσπίδας προβεβλημένοι, τὰ δὲ ὀπίσθια τῷ ἀλλήλοις ἀντιτετάχθαι διαφυλάττοιντο. Ἀλλὰ γὰρ Ναρσῇ τύχης τε αἰτίας τυχήσαντι, καὶ τὸ πρακτέον ἄριστα μηχανησαμένῳ ἅπαντα ἐς δέον ἀπέβη. ἐπειδὴ γὰρ οἱ βάρβαροι ξὺν βοῇ καὶ ἀλαλαγμῷ δρομαῖοι ἐπανελθόντες ξυνέρραξαν τοῖς Ῥωμαίοις, αὐτίκα διέσεισαν τοὺς ἐπὶ τῷ ὀμφαλῷ πρωτοστάτας ἀμφὶ τὸ κένωμα ἐσπεσόντες· οὔπω γὰρ παρῆσαν οἱ Ἔρουλοι: ἥ τε ἀρχὴ διατεμοῦσα τὸ βάθος τῶν λόχων, καὶ φόνον οὐ πολὺν ἐργασαμένη, ὑπὲρ τοὺς οὐραγοὺς ἐξηνέχθη. ἔνιοι δὲ αὐτῶν καὶ περαιτέρω ἐχώρουν ὡς τὸ στρατόπεδον τῶν Ῥωμαίων αἱρήσοντες. τότε δὴ ὁ Ναρσῆς ἐπικάμψας ἠρέμα καὶ ὑπομηκύνας τὰ κέρατα, καὶ ἐπικάμπιον ἐμπροσθίαν (ὡς ἂν οἱ τακτικοὶ ὀνομάσαιεν) τὴν φάλαγγα καταστήσας, παρακελεύεται τοῖς ἱπποτοξόταις ἐφιέναι τὰ βέλη ἑκατέρωθεν ἀναλλάγδην ἐς τὰ μετάφρενα τῶν πολεμίων. οἱ δὲ κατὰ ταῦτα ῥᾳδίως ἐποίουν. ἅτε γὰρ πεζοὺς ὄντας τοὺς βαρβάρους ἐκ τῶν ἵππων ὑπερανέχοντες, εὐκολώτατα ἠδύναντο βάλλειν τὸ ἀφεστηκὸς καὶ ἡπλωμένον καὶ ἐλεύθερον τοῦ ἐπιπροσθοῦν-

ctæ, ac maximam partem in aliquū protenſæ, paulatim a ſe inuicem diatlabantur, ac dirimebantur, tandēque in maximam latitudinem deſinebant: ita vt intermedius locus vacuus fieret, ac nuda virorum terga ſerietim apparerent. Auerſi enim a ſe mutuo ſtabant, vt aduerſi hoſtium fronti eſſent, & obiectis clypeis tutò dimicarent, ac poſteriores mutuâ iſtâ inter ſeſe oppoſitione illæſos tutarētur. Attenim Narſeti, cui & fortuna proſpera obtigerat, & qui quod facere expedîbat, optimo ſtratagemate excogitârat, omnia ex animi voto ſucceſſêre. Nam poſtquā Barbari ſublato clamore, & vlulatu excitato concitatius proruentes cum Romanis congreſſi ſunt, protinus primorum in mediâ acie ordine perrupto in vacuum iſtum locū irruerunt, (nondum enim Heruli aduenerāt) ac primi in cuneo perruptâ decuriarum altitudine, nec cæde editâ magnâ, vltra Tergiduces delati ſunt: nonnulli vero ipſorum etiam vlterius progrediebantur, tanquam Romanorū caſtra inuaſuri, atq; occupaturi: Tum Narſes inflexis ſenſim, ac in longitudinem expāſis cornubus, conſtitutâq; phalange (quam ἐπικάμπιον ἐμπροσθίαν, hoc eſt, inflexam antrorſum, tactici vocarint) Equitibus Hippotoxotis præcipit, vt tela alternatim vtrimque in dorſa hoſtium mittant. at illi facilè id præſtabant. Quippe enim ex equis eminentes ſupra Barbaros, qui Pedites erant, facillimè ferire poterant diſtantes, atque explicatos, ac deſtitutos iis qui ſeſe opponere poſſent, atque id quo minus fieret impedire.

neque

τος. καὶ ἦν οὐ χαλεπὸν οἶμαι τοῖς ἐπὶ τῶν ἄκρων ἱππόταις, τὸ μὲν κατὰ σφᾶς μέρος τῶν δυσμενῶν καὶ πλησιαίτατον ὑπερβαίνειν τοῖς βέλεσι, τοὺς δὲ ἀντικρὺ φαινομένους τιτρώσκειν. διεπερονῶντο τοιγαροῦν πάντοθεν τὰ νῶτα οἱ Φράγγοι. τῶν μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως τεταγμένων Ῥωμαίων τοὺς ἐκεῖθεν λυμαινομένων, τῶν καὶ ἐπὶ θάτερα τοὺς ἑτέρους· οὕτω τε οἱ ἄτρακτοι παραλλὰξ ἐς τἀναντία φερόμενοι, καὶ ἅπαν τὸ παρεμπίπτον διαφθείροντες ἐλάνθανον, οὔτε φυλάξασθαι τῶν βαρβάρων οἰώντε γιγνομένων, οὔτε ὅθεν βάλλονται σαφῶς ἐπισκοπούντων. ἀντιμέτωποι γὰρ τοῖς Ῥωμαίοις ἑστῶτες, καὶ ἐς μόνον τὸ καθ' αὑτοὺς ὡς ἕκαστοι ἀποβλέποντες, καὶ πρὸς μὲν τοὺς ἔμπροσθεν ὁπλίτας ἐκ χειρὸς διαμαχόμενοι, τοὺς δὲ ἱπποτοξότας ὡς δὴ ὄπισθεν τεταγμένους οὐ μάλα ὁρῶντες, τά τε στέρνα οὐ βαλλόμενοι, ἀλλὰ τὰ νῶτα, οὐκ εἶχον διαγινώσκειν οὗπερ ἐτύγχανον ὄντες κακοῦ. τοῖς δὲ πλείστοις οὐδὲ τὸ διαπορεῖν, καὶ ἀμφιγνοῆσαι τὰ ποιούμενα χώρα ἐγίνετο, ἅμα τῇ πληγῇ τελευτῆς ἐπιφοιτώσης· πιπτόντων γὰρ ἀεὶ τῶν ἐκτὸς, εὐθὺς οἱ ἔνδοθεν ἀνεφαίνοντο, καὶ τούτου θαμὰ γιγνομένου διέρρει αὐτοῖς τὰ πλήθη ὡς τάχιστα καὶ ἠφανίζετο, καὶ ἐς ὀλιγότητα ὑπεχώρει. ἐν τούτῳ δὲ Σινδουάλ τε καὶ οἱ Ἔρουλοι πελάσαντες τῇ μάχῃ ὑπαντιάζουσι τῶν πολεμίων τοῖς διαπεραιωθεῖσι τὴν παράταξιν καὶ περιαλωμένοις. αὐτίκα δὴ οὖν αὐτοῖς ἐς χεῖρας ἐλθόντες ἔργου εἴχοντο.

Neque erat, arbitror, difficile equitibus ad extremitates conſtitutis partem inimicorum ſibi proximam telorum iactu ſuperare, atque eos, qui ex oppoſito conſpiciebantur, vulnerare. Itaque traiiciebantur Francis terga vndiq;, Romanis in dextro cornu conſtitutis eos qui ab illa erant parte, infeſtantibus, in altero cornu collocatis eos, qui ab alterâ. Atq; ita tela alternatim in contrarium euntia, atque obuium quodq; diſperdentia nõ viſa ferebantur, barbaris neq; euitare ea valentibus, neque vnde iacerentur, manifeſtè animaduertentibus. nam cum aduerſâ fronte Romanis oppoſiti ſtarent, ac ſinguli in id reſpicerẽt tantum, quod iuxta ſe, & ante pedes eſſet, atq; aduerſus grauiter armatos, qui a fronte erant, conſertis manibus præliarentur; Hippotoxotas autem, vtpote retro poſitos, non conſpicerent, telis non in pectora ipſorum, ſed dorſa iactis, quo malum, loco eſſent, dignoſcere non poterant. pleriſque etiam, quid fieret, locus, ac ſpatium ne quidem dubitandi, ac ambigendi erat: quia vnâ cum ipſo ictu mors illicò conſequebatur. Cadentibus enim ſemper exterioribus ſtatim interiorum terga nudatata apparebãt atque id cum frequenter, & aſſidue fieret, interibãt ipſis copiæ quam celerrimè, ac diſparebant, inque paucitatem redigebantur. Interea Sindual, & Heruli cum prælio appropinquaſſent, occurrunt hoſtibus, qui aciem perruptam, penetrârant, ac prætererierant quaſi palantes.

Statim itaque vt ad manus deuenerunt prælium Chijs commiſêre.

οἱ δὲ τῷ ἀπροσδοκήτῳ καταπλαγέντες, καὶ μᾶλλον ἐνέδραν εἶναι τὸ χρῆμα ὑποπτήσαντες, εὐθὺς ἐς φυγὴν ἐτράποντο, καταιτιώμενοι τοὺς αὐτομολήσαντας, ὡς δὴ ὑπ' ἐκείνων ἐξηπατημένοι. οἱ δὲ ἀμφὶ Σινδουὰλ οὐκ ἀνήεσαν, ἀλλ' ἔκειντο ἕως τοὺς μὲν κατεστόρεσαν, οἱ δὲ ἐς τὰς τοῦ ποταμοῦ ἐξέπεσον δίνας. οὕτω τε τῶν Ἐρούλων τῷ σφετέρῳ χώρῳ ἐγκαταστάντων τό τε κένωμα ἐπληροῦτο, καὶ ἡ φάλαγξ συνεκέκλειστο, καὶ τὸ λοιπὸν οἱ Φράγγοι καθάπερ εἰς ἄρκυς ξυνειλημμένοι ἐκτείνοντο πάντοθεν. ἥ τε γὰρ τάξις αὐτοῖς τελεώτατα διελέλυτο, καὶ χύδην ἐπὶ σφᾶς ὑπελίττοντο, οὐκ ἔχοντες ὅ, τι καὶ γένοιντο. οἱ δὲ Ῥωμαῖοι οὐ μόνον τόξοις αὐτοὺς διεχρῶντο, ἀλλὰ τό τε ὁπλιτικὸν, καὶ οἱ ψιλοὶ ἐπήεσαν δοράτιά τε ἀκοντίζοντες, καὶ τοῖς κοντοῖς διωθούμενοι, καὶ ταῖς μαχαίραις διατέμνοντες, οἵ τε ἱππεῖς ὑπερκερώσεις ποιούμενοι, ὑπεδέχοντο αὐτοὺς εἴσω, καὶ ἀπελάμβανον. εἰ δέ τι αὐτῶν διέφυγε τὰ ξίφη, οἱ δὲ τῇ διώξει ἐκβιαζόμενοι ἐς τὸν ποταμὸν κατεφέροντο, πανταχοῦ τῶν βαρβάρων οἰκτρότατα διολλυμένων. αὐτός τε δὴ οὖν Βουτιλῖνος ὁ στρατηγὸς, καὶ ὅλον τὸ στράτευμα πανωλεθρίᾳ ἠφάνιστο. ἐν τοῖς καὶ οἱ τῶν Ἐρούλων πρὸ τῆσδε τῆς συμπλοκῆς μεταβάντες, καὶ οὐδεὶς ὅστις τῶν Γερμανῶν ἐς τὰ πάτρια ἐνόστησεν ἤθη, ὅτι μὴ πέντε ἄνδρες ὁτῳδηοῦν τρόπῳ διαδεδρακότες. πῶς δὲ οὐκ ἂν εἴη ἀρίδηλον ὡς ποι-

at illi inopinato rei euentu percul-ſi, adeoque inſidias eſſe ſuſpicati, ilico in fugam verſi ſunt, transfugas, quaſi ab iis decepti, inſimulantes. Sindual vero cum ſuis pugnam non intermiſêre, ſed inſtitêre eo vſque dum alios proſtrauêre, alios vltrò in fluminis vortices ſeſe præcipitare coegêre. atque ita Herulis in ſuum locum receptis & vacuitas illa ſuppleta, & Phalanx concluſa fuit. ac Franci tandem quaſi retibus inuoluti vndique occidebantur. nam & ordo ipſis prorſus diſſoluebatur, ac in ſe mutuo fuſim voluebantur, quid eſſent, aut facerent, neſcij. Romani autem non arcubus tantum eos interficiebant, ſed & grauis armaturæ miles, & velites in eos ruebant, & haſtas euibrantes, & contis propellentes, & gladiis diſſecantes; Equites etiam ab vtroque cornu eos circumuenientes intra ſe recipiebant, ac concludebant. ſi qui vero enſium ictus effugiebant, ii perſequentium vi coacti præcipites in flumen ferebantur, paſſim barbaris miſerrimè intereuntibus. Adeoque ipſe Dux Butilinus, ac totus eius exercitus internecinâ clade exſtinctus eſt. vna etiam cum iis illi Heruli, qui ante hunc conflictum defecerant, atque ad hoſtes tranſierant. Neque Germanorum quiſquam in patriam reuerſus eſt, præterquam viri quinque, qui quoquo modo euaſere. Quo pacto autem liquido manifeſtum non ſit, eos

impio-

νας ὑπέσχειν τῶν ἀδικημάτων, καὶ ὑπερτέρα τις αὐτοὺς μετῆλθεν ἀνάγκη; ὁ μὲν γὰρ μύριος ἐκεῖνος ὅμιλος τῶν Φράγγων τε καὶ Ἀλεμανῶν, καὶ τῶν ὅσοι δὴ αὐταῖς τυχὸν ἕτεροι τὸν πόλεμον ξυνδιήνεγκαν, ἄρδην ἀνήρπαστο· μόνοι δὲ ὀγδοήκοντα τῶν Ῥωμαίων ἄνδρες ἀπέθανον, οἳ δὴ ἐτύγχανον ὑποδεξάμενοι τὴν πρώτην ἐμβολὴν τῶν πολεμίων. ἠρίστευσαν δὲ ἐν τῷδε ἔργῳ τῶν μὲν Ῥωμαϊκῶν ταγμάτων σχεδόν τι ἅπαντες. βαρβάρων δὲ τῶν ξυστρατευομένων Ἀλίγερνος ὁ Γότθος (παρῆν γὰρ καὶ ὃς ἐν τῇ μάχῃ) Σινδουάλ τε ὁ τῶν Ἐρούλων στρατηγὸς, καὶ οὐδέν τι ἔλαττον ἔσχε τῶν ἄλλων. ἅπαντες δὲ τὸν Ναρσῆν ἐν ἐπαίνῳ ἐποιοῦντο καὶ ἀπεθαύμαζον, ὡς τῇ ἐκείνου προμηθείᾳ ἐπὶ μέγα δόξης χωρήσαντες. νίκη γὰρ οὕτω λαμπρὰ καὶ διαφανὴς, καὶ ἐς τόδε ὑπερβολῆς προελθοῦσα οὐ ῥᾳδίως οἶμαι ἀνὰ τὸν ἔμπροσθεν χρόνον ἑτέρῳ τῳ ξυνηνέχθη.

impiorum facinorum prænas luiſſe, ac ſuperiorem neceſſitatem eoſdem preſſiſſe? Infinita enim iſta Francorum & Alemannorum turba, & quotquot alii forte vna cum ipſis bellum iſtud geſſerant, funditus deleta eſt. E Romanis octoginta tantum viri occubuêre, qui primum hoſtium impetum ſuſtinuerant. In hoc autem certaminis opere maximè, ſtrenuos ſeſe præbuêre E Romanis copiis pene omnes: E Barbaris, quæ auxiliares ipſis vna militabant, Aligernus Gotthus, (nam & ille prælio intererat) & Sindual Herularum dux, qui nihilo aliis inferior erat. Cæterum omnes Narſetem laudibus efferebant, atque admirabantur, tanquam ipſius ſolerti prudentiâ ad ingentem iſtam gloriam prouecti. Tam enim ſplendidam, illuſtrem, atque excellentem victoriam, non facilè credo cuiquam prioribus ſæculis contigiſſe.

Armaturæ Macedonum, ac Romanorum, atque Acierum, quæ vtriſque in vſu fuere, comparatio.

Locus perelegans, e Polybi Eclogâ Hiſtoriarum. XVII.

Ἐγὼ δὲ κατὰ μὲν τὴν ἕκτην βίβλον ἐν ἐπαγγελίᾳ καταλιπών, ὅτι λαβὼν τὸν ἁρμόζοντα καιρὸν, σύγκρισιν ποιήσομαι τοῦ καθοπλισμοῦ Ῥωμαίων καὶ Μακεδόνων, ὁμοίως δὲ καὶ τῆς συντάξεως τῆς ἑκατέρων, τί διαφέρουσιν ἀλλήλων πρὸς τὸ χεῖρον, καί τι πρὸς τὸ βέλτιον, νῦν ἐπ' αὐτῶν τῶν πράξεων πειράσομαι τὴν ἐπαγγελίαν ἐπὶ τέλος ἀγαγεῖν. ἐπεὶ γὰρ ἡ μὲν Μακεδόνων σύνταξις ἐν τοῖς πρὸ τοῦ χρόνοις δι' αὐτῶν τῶν ἔργων διαδοῦσα τὴν πεῖραν ἐκράτει τῶν τε κατὰ τὴν Ἀσίαν, καὶ τῶν Ἑλληνικῶν συντάξεων· ἡ δὲ Ῥωμαίων τῶν τε κατὰ τὴν Λιβύαν, καὶ τῶν κατὰ τὴν Εὐρώπην προσεσπερίων ἐθνῶν ἁπάντων· ἐν δὲ τοῖς καθ' ἡμᾶς καιροῖς οὐχ ἅπαξ, ἀλλὰ καὶ πλεονάκις γέγονε τούτων τῶν τάξεων, καὶ τῶν ἀνδρῶν πρὸς ἀλλήλους διάκρισις· χρήσιμος καὶ καλὸς ἂν εἴη, τὸ τὴν διαφορὰν ἐρευνῆσαι, καὶ παρὰ τί συμβαίνει τοὺς Ῥωμαίους ὑποκρατεῖν, καὶ τὸ πρωτεῖον ἐκφέρεσθαι τῶν κατὰ πόλεμον ἀγώνων. ἵνα μὴ τύχην λέγοντες, μὴ μόνον μακαρίζωμεν τοὺς κρατοῦντας ἀλόγως, καθάπερ οἱ μάταιοι τῶν ἀνθρώπων, ἀλλ' εἰδότες τὰς ἀληθεῖς αἰτίας ἐπαινῶμεν καὶ θαυμάζοιμεν κατὰ λόγον τοὺς ἡγουμένους. περὶ μὲν οὖν τῶν πρὸς

Ego cum libro VI promiſſum reliquerim, me datâ occaſione commoda facturum comparationem Armaturæ Romanorum, & Macedonum, & ſimiliter Inſtructionis acierum, quæ vtriſque in vſu fuit, quid inter ſeſe differant, vt alterutra modo deterior ſit, modo melior; promiſſum iſtud in ipſis rebus geſtis adimplere nunc conabor. Quia enim Macedonum Inſtructio ſuperioribus temporibus, per ipſamet effecta dato experimento, potior erat omnibus tam Aſiaticis, quam Græcanicis Inſtructionibus; Romanorum vero primas obtinebat inter Africæ, atq; Europæ occidentales populos omnes; ac noſtris temporibus non ſemel, ſed pluries hi ordines ac viri inter ſeſe commiſſi ſunt: vtile iuxta ac pulchrum fuerit, diſcrimen, quod inter eos eſt, veſtigare, atque adeo vnde contingat, Romanos ſuperiores eſſe, ac primas e certaminibus bellicis auferre. vt ne Fortunam aliquam allegantes ſiue ratione vincẽtes extollamus, (quod faciunt homines ſtolidi) ſed cognitis veris eiuſce rei cauſis cum ratione Duces & laudemus, & admiremur.

Equi-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Ἀννίβαν ἀγώνων γεγονότων Ῥωμαίοις, καὶ τῶν ἐν τούτοις ἐλαττωμάτων οὐδὲν ἂν δέοι πλείω λέγειν. οὐ γὰρ παρὰ τὴν καθοπλισμὸν, οὐδὲ παρὰ τὴν σύνταξιν, ἀλλὰ παρὰ τὴν ἐπιδεξιότητα τὴν Ἀννίβου, καὶ τὴν ἀγχίνοιαν περιέπιπτον τοῖς ἐλαττώμασι. δῆλον δὲ τοῦτο πεποιήκαμεν ἡμεῖς ἐπ' αὐτῶν ἐπιδεικνύοντες τῶν ἀγώνων. μαρτυρεῖ δὲ τοῖς ἡμετέροις λόγοις, πρῶτον μὲν τὸ τέλος τοῦ πολέμου. προσγενομένου γὰρ στρατηγοῦ τοῖς Ῥωμαίοις παραπλησίαν δύναμιν ἔχοντος Ἀννίβα, ταχέως καὶ τὸ νικᾶν συνεξηκολούθησε τοῖς προειρημένοις. εἶτ' ἐν αὐτοῖς Ἀννίβας ἀποδοκιμάσας τὴν ἐξ ἀρχῆς αὐτοῖς ὑπάρχοντα καθοπλισμὸν, ἅμα τῷ νικῆσαι τῇ πρώτῃ μάχῃ παραχρῆμα τοῖς Ῥωμαίων ὅπλοις καθοπλίσας τὰς οἰκείας δυνάμεις, τούτοις διετέλεσε χρώμενος τὴν ἐξ ἀρχῆς χρόνον. Πύῤῥος γε μὴν οὐ μόνον ὅπλοις, ἀλλὰ καὶ δυνάμεσιν Ἰταλικαῖς συγκέχρηται, τιθεὶς ἐναλλὰξ σημείαν, καὶ σπεῖραν φαλαγγιτικὴν ἐν τοῖς πρὸς Ῥωμαίους ἀγῶσιν. ἀλλ' ὅμως οὐδ' οὕτως ἐδύνατο νικᾶν, ἀλλ' ἀεί πως ἀμφίδοξα τὰ τέλη τῶν κινδύνων αὐτοῖς ἀπέβαινε. περὶ μὲν οὖν τούτων ἀναγκαῖον ἦν προειπεῖν, χάριν τοῦ μηδὲν ἀντεμφαίνειν ταῖς ἡμετέραις ἀποφάσεσι. ἐπάνειμι δ' ἐπὶ τὴν προκειμένην σύγκρισιν. Ὅτι μὲν ἐχούσης τῆς φάλαγγος τὴν αὐτῆς ἰδιότητα, καὶ δύναμιν, οὐδὲν ἂν ὑποσταίη κατὰ πρόσωπον, οὐδὲ μεῖναι τὴν ἔφοδον αὐτῆς, εὐχερὲς καταμαθεῖν ἐκ πολλῶν.

Equidem de certaminibus, quæ Romanis cum Hannibale fuère, quodque in iis inferiores fuerint, nihil opus multa dicere. nec enim ob armaturam, nec ob acierum inſtructionem, ſed dexteritatem ſolertiamque Hannibalis inferiores detrimenta paſſi ſunt. idque in ipſis certaminibus oſtendentes manifeſtum fecimus. Quinimo eius, quod dicimus, primo quidem belli iſtius exitus teſtimonio eſt. nam cum Romani Ducem nacti eſſent facultate Hannibali parem, ilico etiam victoria prædictos conſecuta eſt. Deinde, & ipſe Hannibal reprobatâ, quæ primum ipſi in uſu fuerat, armaturâ, ſimul ac primâ pugnâ victor fuiſſet, confeſtim ſuas copias Romanorum armis armauit, inque eorum vſu toto poſt tempore continuauit. Profectò Pyrrhus quoque non ſolum armis, verum & copijs Italicis vſus ſimul eſt, poſitis alternatim Manipulo & Phalangitarum cohorte in præliis, quæ aduerſus Romanos habuit. Nihilominus tamen necita eos deuincere potuit. Sed dubii diſcriminum exitus ipſis fuere. De hiſce igitur quædam præfari neceſſe fuit, ne quid huic noſtræ ſententiæ aduorſari videretur. Sed redeo ad propoſitã comparationem. Equidẽ quod Phalangis, proprietatẽ ſuam ac vim obtinentis, incurſum atque aduerſam in fronte impreſſionem manere, ac ſuſtinere nihil valeat, e multis id diſcere facile eſt.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ἐπεὶ γὰρ ὁ μὲν ἀνὴρ ἵσταται σὺν τοῖς ὅπλοις ἐν τρισὶ ποσὶ κατὰ τὰς ἀγωνίους πυκνώσεις, τὸ δὲ τῶν σαρισσῶν μέγεθός ἐστι κατὰ τὴν μὲν ἐξ ἀρχῆς ὑπόθεσιν ἑκκαίδεκα πηχῶν, κατὰ δὲ τὴν ἁρμογὴν τὴν πρὸς τὴν ἀλήθειαν δεκατεσσάρων, τούτων δὲ τοὺς τέτταρας ἀφαιρεῖ τὸ μεταξὺ ταῖν χεροῖν διάστημα, καὶ τὸ κατόπιν σήκωμα τῆς προσβολῆς, φανερὸν ὅτι τοὺς δέκα πήχεις προπίπτειν ἀνάγκη τὴν σάρισσαν πρὸ τῶν σωμάτων ἑκάστου τῶν ὁπλιτῶν, ὅταν ἔῃ δι' ἀμφοῖν ταῖν χεροῖν * προβαλλόμενος ἐπὶ τοὺς πολεμίους. ἐκ δὲ τούτου συμβαίνει τὰς μὲν τοῦ δευτέρου, καὶ τρίτου, καὶ τετάρτου πλεῖον, τὰς δὲ τοῦ πέμπτου ζυγοῦ σαρίσσας δύο προπίπτειν πήχεις πρὸ τῶν πρωτοστατῶν, ἐχούσης τῆς φάλαγγος τὴν αὑτῆς ἰδιότητα, καὶ πύκνωσιν κατ' ἐπιστάτην, καὶ κατὰ παραστάτην. ὡς Ὅμηρος ἐπιδείκνυσιν ἐν τούτοις·

Nam quia vir cum armis, imminente conflictu dum ſit denſatio, ſtat occupans locum trium pedum, ac ſariſſæ longitudo ſecundum primum inſtitutum cubitorum eſt ſedecim, at ſecundum veram congruentiam quatuordecim, quorum quatuor ſpatium aufert, quod eſt inter vtramque manum, quodque in protenſione æquipondium aliquod confert; inde liquet, neceſſariò pro corporibus ſingulorum decem cubitis prominere, cum vtrâque manu in hoſtes protenſa eſt. Hinc adeo accidit, ſariſſas iugi ſecundi, tertij, & quarti pluribus, quinti vero iugi duobus cubitis ante protoſtatas prominere: habente nimirum Phalange ſuam proprietatem, ac denſationem ſecundum Paraſtatam, atque Epiſtatam, quemadmodum, exemplum eius eſt apud Homerum in his verſibus:

Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ,
Ψαῦον δ' ἱπποκόμοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων, ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι·

Et clypeus clypeum, & galeam galea, atque virum vir
Suſtinet, implexis vario nutamine criſtis
Vibrantum: dum denſato ſtat in agmine miles.

Τούτων δ' ἀληθινῶς, καὶ καλῶς λεγομένων, δῆλον ὡς ἀνάγκη καθ' ἕκαστον τῶν πρωτοστατῶν σαρίσσας προπίπτειν πέντε, δυσὶ πήχεσι διαφερούσας ἀλλήλων * καὶ κατὰ μῆκος. ἐκ δὲ τούτου ῥᾴδιον ὑπὸ τὴν ὄψιν λαβεῖν τὴν τῆς ὅλης φάλαγγος ἔφοδον,

Hæc cum verè, ac pulchrè dicantur, clarum eſt, ante ſingulorum armatorum corpora ſagittas prominere duobus cubitis inter ſe longitudine differentes. Hinc facile eſt, ob oculos ponere Phalangis totius impetum,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

καὶ * προβολήν, ποίαν τινα * εἰκότως εἶναι, καί τινα δύναμιν ἔχειν ἐφ' ἑκκαίδεκα τὸ βάθος οὖσαν. ὧν ὅσοι πέμπτον ζυγὸν ὑπεραίρουσι ταῖς μὲν σαρίσσαις οὐδὲν οἷοί τ' εἰσὶ συμβαλέσθαι πρὸς τὸν κίνδυνον. διόπερ οὐδὲ ποιοῦνται κατ' ἄνδρα τὴν * προβολήν. παρὰ δὲ τοὺς ὤμους τῶν προηγουμένων ἀνανευκυίας φέρουσι, χάριν τοῦ τὸν κατὰ κορυφὴν τόπον ἀσφαλίζειν τῆς ἐκτάξεως, εἰργουσῶν τῇ πυκνώσει τῶν σαρισσῶν ὅσα τῶν βελῶν ὑπερπετῆ τῶν πρωτοστατῶν φερόμενα δύναται προσπίπτειν πρὸς τοὺς ἐφεστῶτας. αὐτῷ γε μὴν τοῦ σώματος βάρει κατὰ τὴν ἐπαγωγὴν πιέζοντες οὗτοι τοὺς προηγουμένους βιαίαν μὲν ποιοῦσι τὴν ἔφοδον, ἀδύνατον δὲ τοῖς πρωτοστάταις τὴν εἰς τ' οὔπισθεν μεταβολήν. τοιαύτης περὶ τὴν φάλαγγα διαθέσεως * καὶ καθ' ὅλου, καὶ κατὰ μέρος, ῥητέον ἂν εἴη καὶ τοῦ Ῥωμαίων καθοπλισμοῦ, καὶ τῆς ὅλης συντάξεως τὰς ἰδιότητας καὶ διαφορὰς ἐκ παραθέσεως. ἵστανται μὲν οὖν ἐν τρισὶ ποσὶ μετὰ τῶν ὅπλων καὶ Ῥωμαῖοι. τῆς μάχης δ' αὐτοῖς κατ' ἄνδρα τὴν κίνησιν λαμβανούσης διὰ τὸ τῷ μὲν θυρεῷ σκέπειν τὸ σῶμα συμμετατιθεμένους ἀεὶ πρὸς τὸν τῆς πληγῆς καιρόν, τῇ μαχαίρᾳ δ' ἐκ μεταφορᾶς καὶ διαιρέσεως ποιεῖσθαι τὴν μάχην, προφανὲς ὅτι χάλασμα καὶ διάστασιν ἀλλήλων ἔχειν δεήσει τοὺς ἄνδρας ἐλάχιστον τρεῖς πόδας κατ' ἐπιστάτην καὶ κατὰ παραστάτην, εἰ

petum, atque impreſſionem, qualem eam eſſe probabile, ac quam vim habere neceſſe ſit altitudine eius conſtante è ſedecim viris. Quorum quotquot poſt quintum iugum ſunt, etiam ſi illi ſuis ſariſsis nullum poſſint operæ pretium in conflictu præſtare: (non enim viritim impetum faciunt, ſed præter humeros præcedentium prominentes eas gerunt, vt verticem totius aciei muniant, tela denſitate ſuâ auertentibus ſariſſis, quæ ſupra Protoſtatarum capita tranſeuntia poſſint in poſteriores elidi) attamen corporum pondere, cum hi ipſâ in hoſtes inductione, præcedentes propellant, tum violentam reddunt incurſionem, tum prioribus retrocedendi anſam omnem præripiunt. Talis cum ſit Phalangis tum in genere, tum in ſpecie diſpoſitio, dicenda quoque factâ comparatione Armaturæ Romanorum, ac totius Inſtructionis tum differentiæ, tum proprietates. Stant igitur etiam Romani cum ſuis armis, ac inter ſeſe diſtant tribus pedibus *quoquouerſum*. Cum vero illis Pugna viritim motum capiat, propterea quod corpus tegant ſcuto tranſpoſito ſemper ad latus ictui opportunum, præliumque faciant gladio cæſim, punctimque ferientes; manifeſtum hinc, debere ſpatium ac diſtantiam ſeruare inter ſeſe viros iſtos minimum trium pedum in longitudine, atque altitudine, ſi quidem vſum commodum poſcente ne-

μέλλουσιν εὐχρηστεῖν πρὸς τὸ δέον. ἐκ δὲ τούτου συμβήσεται τὸν ἕνα Ῥωμαῖον ἵστασθαι κατὰ δύο πρωτοστάτας τῶν φαλαγγιτῶν. ὥστε πρὸς δέκα σαρίσσας αὐτῷ γίνεσθαι τὴν ἀπάντησιν, καὶ τὴν μάχην. ἃς οὔτε κόπτοντα τὸν ἕνα κατατασχῆσαι δυνατὸν, ὅταν ἅπαξ συνάψωσιν εἰς τὰς χεῖρας, οὔτε βιάσασθαι ῥάδιον. μηδέν γε τῶν ἐφεσότων δυναμένων συμβαλέσθαι τοῖς πρωτοστάταις, μήτε πρὸς βίαν, μήτε πρὸς τὴν τῶν μαχαιρῶν ἐνέργειαν. ἐξ ὧν εὐκατανόητον * οὐχ' οἷόν τε μεῖναι κατὰ πρόσωπον τὴν ἔφοδον τῆς φάλαγγος οὐδένα, ἢ τειρούσης τὴν αὐτῆς ἰδιότητα, καὶ δύναμιν, ὡς ἐν ἀρχαῖς εἶπα. τις * οὖν αἰτία τοῦ νικᾶν Ῥωμαίους, καί τι τὸ σφάλλον ἐστὶ τοὺς ταῖς φάλαγξι χρωμένους; ὅτι συμβαίνει τὸν μὲν πόλεμον ἀορίστους ἔχειν καὶ τοὺς καιροὺς, καὶ τοὺς τόπους τοὺς πρὸς τὴν χρείαν. τῆς δὲ φάλαγγος ἕνα καιρὸν εἶναι καὶ τόπον, ἓν γένος, ἐν οἷς δύναται τὴν αὐτῆς χρείαν ἐπιτελεῖν. εἰ μὲν οὖν τις ἦν ἀνάγκη τοῖς ἀντιπάλοις εἰς τοὺς τῆς φάλαγγος καιροὺς καὶ τόπους συγκαταβαίνειν, ὅτε μέλλοιεν κρίνεσθαι περὶ τῶν ὅλων, εἰκὸς ἦν κατὰ τὸν ἄρτι λόγον ἀεὶ φέρεσθαι τὸ πρωτεῖον τοὺς ταῖς φάλαγξι χρωμένους. εἰ δὲ δυνατὸν ἐκκλίνειν, καὶ τοῦτο ποιεῖν ῥᾳδίως, πῶς ἂν ἔτι φοβερὸν εἴη τὸ προειρημένον σύνταγμα; καὶ μὴν ὅτι χρείαν ἔχει τόπων ἐπιπέδων καὶ ψιλῶν ἡ φάλαγξ, πρὸς δὲ τούτοις μηδὲν ἐμπόδιον

ceſſitate præſtabunt. Atque hinc continget, vnum Romanum duobus Phalangitarum Protoſtatis opponi : ita vt decem ſariſſis illi ſit occurrendum, cumque iiſdem depugnandum. quas poſtquã manus conſeruêre, promptè vnus confringere nec facilè per vim vlli e manibus euellere poteſt, cum poſtpoſiti prioribus nullam operam ſubſidiariam queant conferre, nec ad vim inferendam, nec ad gladiorum efficacem vſum. E quibus intelligi facile poteſt, neminem manere, aut ſuſtinere poſſe aduerſum Phalangis in fronte impetum, quæ quidem proprietatem ſuam, ac vim, de quibus ante dixi, conſeruat. Quid igitur cauſæ eſt, quod eos fruſtretur, qui Phalangibus vtuntur? Quia nimirum contingit in bello infinitas dari temporum occaſiones, ac loca ad vſum varia: Phalangis autem vnam eſſe occaſionem, vnum locum, & genus vnum, in quibus ſuum vſum exhibere poſſit. Quod ſi ergo neceſſario aduerſarii, quoties de ſummâ rerum decertandum, condeſcendere cogerentur in tempora ac loca Phalangi propria, meritò e modo dictis vtentes Phalangibus ſemper primas e præliis aſportarent. Quod ſi autem ea declinari poſſint, id quod factu facile, cur vltra prædicta Inſtructio formidetur? Quinetiam Phalangem poſtulare loca plana, æqualia, adhæc talia, quæ nullum impedimentum dare queant, vt ſunt, foſſæ, ſalebræ, conualles, tumuli, fluuiorum torrentes, id in confeſſo

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ἐχόντων, λέγω δὲ οἷον τάφρους, ἐκρήγματα, συναγκείας, ὀφρῦς, ῥεῖθρα ποταμῶν, ὁμολογούμενόν ἐστι. πάντα γὰρ τὰ προειρημένα παραποδίζειν καὶ λύειν τὴν τοιαύτην τάξιν ἱκανὰ γίνεται. διότι δ' εὑρεῖν τόπους ποτὲ μὲν ἐπὶ σταδίους εἴκοσι, ποτὲ δὲ καὶ πλείους, ἐν οἷς μηδέν τι τοιοῦτον *ὑπάρχειν, σχεδὸν ὡς εἰπεῖν ἀδύνατόν ἐστιν. εἰ δὲ μή γε, τελέως σπάνιον, καὶ τοῦτο πᾶς ἂν τις ὁμολογήσειεν, οὐ μὴν ἀλλ' ἔστω τόπους ἐξευρῆσθαι τοιούτους. ἐὰν οὖν οἱ μὲν πολεμοῦντες εἰς μὲν τούτους μὴ συγκαταβαίνουσι, *περιπορευόμενοι δὲ πορθῶσι τὰς πόλεις καὶ τὴν χώραν τὴν τῶν συμμάχων, τί τῆς τοιαύτης ὄφελος ἔσται συντάξεως; μένουσα μὲν γὰρ ἐν τοῖς ἐπιτηδείοις αὐτῇ τόποις οὐχ οἷον ὠφελεῖν δύναιτ' ἂν τοὺς φίλους, ἀλλ' οὐδ' αὑτὴν σώζειν. αἱ γὰρ τῶν ἐπιτηδείων παρακομιδαὶ κωλυθήσονται ῥᾳδίως ὑπὸ τῶν πολεμίων, ὅταν ἀκονητὶ *κρατῶσι τῶν ὑπαίθρων. ἐὰν δ' *ἀπολειποῦσα τοὺς οἰκείους τόπους βούληταί τι πράττειν, εὐχείρωτος ἔσται τοῖς πολεμίοις. οὐ μὴν ἀλλὰ κἂν εἰς τοὺς ἐπιπέδους συγκαταβάς τις τόπους μὴ πᾶν ἅμα τὸ σφέτερον στρατόπεδον ὑπὸ τὴν ἐπαγωγὴν τῆς φάλαγγος κατὰ τὸν ἕνα καιρὸν ὑποβάλῃ, βραχέα δὲ φυγομαχήσῃ κατ' αὐτὸν τὸν τοῦ κινδύνου καιρὸν, εὐθεώρητον γίνεται τὸ συμβησόμενον, ἐξ ὧν ποιοῦσι Ῥωμαῖοι νῦν. οὐκ ἔτι γὰρ ἐκ τοῦ λόγου δεῖ τεκμαίρεσθαι τὸ νυνὶ λεγόμενον ὑφ' ἡμῶν, ἀλλ' ἐκ τῶν ἤδη γεγονότων. οὐ γὰρ ἐξισώσαντες τὴν παράταξιν πᾶσιν ἅμα συμβάλλουσι τοῖς στρατοπέδοις μετωπηδὸν πρὸς τὰς φάλαγγας.

confeſſo eſt. nam prædicta iſta ſatis eſſe poſſunt ad ordinem talem aut impediendum, aut diſſoluendum: quod loca reperire quandoque viginti ſtadiorum, quandoq; plurium, in quibus nullum tale offendiculum, pene dixero, impoſſibile ſit; ſin minus, attamen perrarum. idque nemo inficias ibit. Sed eſto, inueniri talia loca. Quid ſi ergo aduerſarij in iſta non condeſcendant, ſed interea circumquaque vrbes atque agros ſociorum deuaſtatum eant, quid talis Aciei inſtructio prodeſſe quibit? Nam permanens in conuenientibus ſibi locis tantum abeſt, ſocios & amicos iuuare, vt nec ſe ipſa ſeruare poſſit. Commeatu enim & rerum neceſſariarum importatione facile ab hoſtibus ſecludentur, poſtquam ſine labore illi iam campo potiti ſint. Sin vero illa relinquens loca ſibi propria attentare aliquid volet, facile in poteſtatem hoſtium veniet. Quin ſi etiam in plana locorum quis condeſcendat, nec tamen totum ſuum exercitum vno eodemque temporis momento obiiciat Phalangis Inductioni, ſed receſſim quaſi pugnet ipſo certaminis tempore, quid ſit euenturum facilè intelligi poteſt ex ijs, quæ hodiè a Romanis fiunt. nec enim eius, quod iam a nobis dicitur, certitudinem e verbis amplius colligere oportet, ſed ex iis quæ iam ante facta. Non enim formatâ omni ex parte acie ſimili cunctis ſimul exercitus ſui copiis vnâ fronte cum Phalangibus confligunt.

ἀλλὰ τὰ μὲν ἐφεδρεύει τῶν μερῶν αὐτοῖς πολεμίοις. λοιπὸν εἴτε ἐκπιέσωσιν οἱ Φαλαγγῖται τοὺς καθ' αὐτοὺς * προβάλλοντες, εἴτ' ἐκπιεσθῶσιν ὑπὸ τούτων, λέλυται τὸ τῆς Φάλαγγος ἴδιον. ἢ γὰρ ἑπόμενοι τοῖς ὑποχωροῦσιν, ἢ φεύγοντες τοὺς προκειμένους, ἀπολείπουσι τὰ λοιπὰ μέρη τῆς οἰκείας δυνάμεως. οὗ γενομένου δέδοται τοῖς ἐφεδρεύουσι τῶν πολεμίων διάστημα καὶ τόπος, ὃν οὗτοι κατεῖχον, πρὸς τὸ μηκέτι κατὰ πρόσωπον ὁρμᾶν, ἀλλὰ παρεισπεσόντας πλαγίους παρίστασθαι καὶ κατὰ νώτου τοῖς Φαλαγγίταις. ὅταν δὲ τοὺς μὲν τῆς Φάλαγγος καιροὺς καὶ προτερήματα ῥάδιον εἴη φυλάξασθαι, τοὺς δὲ κατὰ τῆς Φάλαγγος ἀδύνατον, πῶς οὐ μεγάλην εἰκὸς εἶναι τὴν διαφορὰν ἐπὶ τῆς ἀληθείας τῶν προειρημένων; καὶ μὴν πορευθῆναι διὰ τόπων παντοδαπῶν ἀναγκαῖον τοὺς χρωμένους Φάλαγγι, καὶ καταστρατοπεδεῦσαι, ἔτι δὲ τόπους εὐκαίρους προκαταλαβέσθαι, καὶ πολιορκῆσαί τινας, καὶ πολιορκηθῆναι, καὶ παραδόξοις ἐπιφανείαις περιπεσεῖν· ἅπαντα γὰρ ταῦτά ἐστι πολέμου μέρη, καὶ ῥοπὰς ποεῖ πρὸς τὸ νικᾶν, ποτὲ μὲν ὁλοσχερεῖς, ποτὲ δὲ μεγάλας, ἐν οἷς πᾶσιν ἡ μὲν Μακεδόνων ἐστὶ σύνταξις δύσχρηστος, ποτὲ δ' ἄχρηστος, διὰ τὸ μὴ δύνασθαι τὸν Φαλαγγίτην μήτε κατὰ τάγμα, μήτε κατ' ἄνδρα παρέχεσθαι χρείαν. ἡ δὲ Ῥωμαίων εὔχρηστος. πᾶς γὰρ Ῥωμαῖος ὅταν ἅπαξ καθοπλισθεὶς

Sed quædam ipſis partes in ſubſidiis ſtant quædam cum hoſtibus manus conſerunt. Relinquitur igitur, ſeu Phalangitæ loco pellant ſuos aduerſarios, ſeu ab iis loco pellanrur, proprietatem phalangis diſſolui. Quod dum fit, Subſidiariis hoſtium ſpatium, ac locus ceditur, quem ipſi ante occupabant, non amplius aduerſum impetum a fronte faciendi, ſed a lateribus irruendi, ac phalangitas a tergo etiam inuadendi. cum ergo facile ſit, euitare tempora, ac loca, in quibus Phalanx primas obtinere poſſit, quæ autem phanlangi aduerſa ſunt impoſſibile, quomodo non videatur reuera magna eſſe prædictorum differentia. Adhæc per omnigena loca iter facere phalange vtentes neceſſe eſt, inque iiſdem caſtra ponere: tum etiam loca opportuna præoccupare nonnullaque per obſidionem oppugnare, aut in quibuſdam obſidionem ſuſtinere, adeoque inopinatos hoſtium ſuperuentus experiri. nam hæc omnia velut partes bellum ſibi vendicat, atque in iis momenta quandoque victoriæ ſumma, quandoque magna exhibet. in quibus omnibus Macedonum inſtructio vſum difficilem, aliquando etiam nullum habet: quod Phalangita vtilem operam nec viritim, nec agminatim nauare valeat. Romanorum contra inſtructio in iis vtilis eſt. quiſq; enim Romanorum poſteaquam ſe-

mel

ὁρμήσῃ πρὸς τὴν χρείαν, ὁμοίως ἥρμωσαι πρὸς πάντα τόπον, καὶ καιρὸν, καὶ πρὸς πᾶσαν ἐπιφάνειαν. καὶ μὴν ἕτοιμός ἐστι, καὶ τὴν αὐτὴν ἔχει διάθεσιν, ἄν τε μετὰ πάντων δέῃ κινδυνεύειν, ἄν τε μετὰ μέρους, ἄν τε κατὰ σημείαν ἄν τε καὶ κατ᾽ ἄνδρα. διὸ καὶ παρὰ πολὺ τῆς κατὰ μέρος εὐχρηστίας διαφερούσης, παρὰ πολὺ καὶ τὰ τέλη συνεξακολουθεῖ ταῖς Ῥωμαίων προθέσεσι μᾶλλον ἢ ταῖς τῶν ἄλλων. περὶ μὲν οὖν τούτων ἀναγκαίων ἡγησάμην εἶναι, τὸ διὰ πλειόνων ποιήσασθαι μνήμην, διὰ τὸ καὶ παρ᾽ αὐτὸν τὸν καιρὸν πολλοὺς τῶν Ἑλλήνων διαλαμβάνειν, ὅτε Μακεδόνες ἡττήθησαν, ἀπίστῳ τὸ γεγονὸς ἐοικέναι, καὶ μετὰ ταῦτα πολλοὺς διαπορήσειν, διὰ τί, καὶ πῶς λείπεται τὸ σύνταγμα τῆς φάλαγγος ὑπὸ τοῦ Ῥωμαίων καθοπλισμοῦ.

mel armatus poſtulante vſu ad pugnam ruit, ſimul & ad quemuis locum, & quoduis tempus, & quemuis aſpectum compoſitus eſt: imo & paratus, eandemque diſpoſitionem obtinens, ſiue cum omnibus, ſiue cum parte aliquâ, ſiue manipulatim, ſiue etiam viritim diſcrimen prælij ſit ſubeundum. Quocirca cum particulari ac facili vſu permultum differat, eo fit, vt euentus præliorum vtplurimum magis Romanorum, quam aliorum inſtitutis reſpondeant. De his itaque prolixius mentionem facere neceſſarium duxi, quod illo ipſo tempore, cum deuicti eſſent Macedones, multi Græcorum ſupra fidem illud videri exiſtimarent: quodque multi poſt hæc dubitaturi ſint, cur, ac quomodo conſtructio Phalangis armaturâ Romanorum ſit inferior?

Ex Arriani lib. I. quædam Præliorum deſcriptiones.

Prælium Alexandri cum Thracibus.

Καὶ ἐνταῦθα ἀπήντων αὐτῷ κατὰ τὰ στενὰ τῆς ἀνόδου τῆς ἐπὶ τὸ ὄρος τῶν τε ἐμπόρων πολλοὶ ὡπλισμένοι, καὶ οἱ Θρᾷκες οἱ αὐτόνομοι, παρεσκευασμένοι εἴργειν τοῦ πρόσω, κατειληφότες τὴν ἄκραν τοῦ Αἵμου, τὸν στόλον, παρ' ὃν ἦν τῷ στρατεύματι ἡ πάροδος. ξυναγαγόντες δὲ ἁμάξας, καὶ προβαλλόμενοι πρὸ σφῶν, ἅμα μὲν χάρακι ἐχρῶντο ταῖς ἁμάξαις, εἰς τὸ ἀπομάχεσθαι ἀπ' αὐτῶν, εἰ βιάζοιντο· ἅμα δὲ ἐν νῷ εἶχον ἐπαφιέναι ἀνιοῦσιν, ᾗ ἀποτομώτατον τοῦ ὄρους, ἐπὶ τὴν φάλαγγα τῶν Μακεδόνων τὰς ἁμάξας. γνώμην δὲ πεποίηντο, ὅτι ὅσον πυκνοτέρᾳ τῇ φάλαγγι καταφερόμενοι συμμίξουσιν αἱ ἅμαξαι, τόσῳ μᾶλλόν τι διασκεδάσουσιν αὐτὴν βίᾳ ἐμπεσοῦσαι. Ἀλεξάνδρῳ δὲ βουλὴ γίγνεται, ὅπως ἀσφαλέστατα ὑπερβάλῃ τὸ ὄρος. καὶ ἐπειδὴ ἐδόκει διακινδυνευτέα (οὐ γὰρ εἶναι ἄλλῃ τὴν πάροδον) παραγγέλλει τοῖς ὁπλίταις, ὁπότε καταφέροιντο κατὰ τοῦ ὀρθίου αἱ ἅμαξαι, ὅσοις μὲν ὁδὸς πλατεῖα οὖσα παρέχοι λῦσαι τὴν τάξιν, τούτους δὲ διαχωρῆσαι, ὡς δι' αὐτῶν ἐμπεσεῖν τὰς ἁμάξας. ὅσοι δὲ περικαταλαμβάνοιντο, ξυνεύσαντας τοὺς δὲ καὶ πε-

Hic, *ad AEmum montem*, in faucibus atque anguſtiis, quà is adſcenditur, Alexandro multi negotiatorum armati, & Thraces Autonomi occurrerunt, in hoc parati, vt occupatâ montis ſummitate acceſſum vlteriorem exercitus, quâ viâ tranſitus erat, impedirent. congregatis autem plauſtris, iiſque ante ſeſe obiectis ſimul pro vallo vtebantur, vt ex iiſdem, ſi premerentur, depugnarent: ſimul etiam in animo habebant, ſi adſcenderent, quà præruptiſſimus mons erat, inde plauſtra in aduerſam Macedonum Phalangem deturbare. Nam opinionem ſibi fecerant, quod, quanto confertior eſſet Phalanx, in quam vi illapſa plauſtra deferrentur; tanto magis eam diſſipatura. At vero Alexandro conſilium erat, vt quam tutiſſimè montem ſuperaret. Et quando videbatur periculum eſſe ſubeundum (non enim alia erat tranſeundi via) mandat Scutatis, vt, quum rectâ deferri viderent plauſtra, quibus per viæ latitudinem hoc concederetur, ij ſoluto ordine ſecederent, vt per vacuum ipſis ſpatium illapſa deferrentur plauſtra: quotquot vero anguſtiâ viæ coacti cedere nequirent, vt ii pronos ſimul humi ſe proſternerent clypeis inter ſeſe arctiſſimè conſe-

πεσόντας ἐς γῆν, συγκλεῖσαι ἐς ἀκριβὲς τὰς ἀσπίδας, τοῦ καὶ αὐτῶν φερομένας τὰς ἁμάξας, καὶ τῇ ῥύμῃ κατὰ τὸ εἰκὸς ὑπερπηδώσας, ἀβλαβῶς ἐπελθεῖν καὶ οὕτω ξυνέβη ὅπως παρήνεσέ τε Ἀλέξανδρος, καὶ εἴκασεν. οἱ μὲν γὰρ διέσχον τὴν φάλαγγα, αἱ δὲ ὑπὲρ τῶν ἀσπίδων ἐπικυλισθεῖσαι ὀλίγα ἔβλαψαν. ἀπέθανε δὲ οὐδεὶς ἐπὶ ταῖς ἁμάξαις. ἔνθα δὲ οἱ Μακεδόνες θαρσήσαντες, ὅτι ἀβλαβεῖς αὐτοῖς, ἃς μάλιστα ἐδεδίεσαν, αἱ ἅμαξαι ἐγένοντο, σὺν βοῇ ἐπὶ τοὺς Θρᾷκας ἐνέβαλον. Ἀλέξανδρος δὲ τοὺς τοξότας μὲν ἀπὸ τοῦ δεξιοῦ κέρως πρὸ τῆς ἄλλης φάλαγγος, ὅτι ταύτῃ εὐπορώτερα ἦν, ἐλθεῖν ἐκέλευσε, καὶ ἐκτοξεύειν εἰς τοὺς Θρᾷκας, ὅπῃ προσφέροιντο· αὐτὸς δὲ ἀναλαβὼν τὸ ἄγημα, καὶ τοὺς ὑπασπιστὰς, καὶ Ἀγριᾶνας, κατὰ τὸ εὐώνυμον ἦγεν. ἔνθα δὴ οἱ τοξόται βάλλοντες τοὺς προεκθέοντας τῶν Θρᾳκῶν ἀνέστελλον. καὶ ἡ φάλαγξ προσμίξασα οὐ χαλεπῶς ἐξέωσεν ἐκ τῆς χώρας ἀνθρώπους ψιλοὺς, καὶ κακῶς ὡπλισμένους βαρβάρους. ὥστε Ἀλέξανδρον ἀπὸ τοῦ εὐωνύμου ἐπάγοντα οὐκέτι ἐδέξαντο, ἀλλὰ ῥίψαντες, ὡς ἑκάστοις προυχώρει, τὰ ὅπλα, κατὰ τοῦ ὄρους ἔφυγον. καὶ ἀπέθανον μὲν αὐτῶν ἐς χιλίους καὶ πεντακοσίους, ζῶντες δὲ ἄνδρες μὲν ὀλίγοι ἐλήφθησαν, διὰ ὠκύτητα καὶ τῆς χώρας ἐμπειρίαν. γυναῖκες δὲ ὅσαι ξυνείποντο αὐτοῖς, ἑάλωσαν πᾶσαι· καὶ τὰ παιδάρια, καὶ ἡ λεία πᾶσα ἑάλω.

conſertis, quò delata in ipſos plauſtra, atque ipſo impetu, vt erat partraſiliuntia, innoxiè deorſum ferrentur. Atque ita contigit, vt & ſuaſerat Alexander, & ſecum reputarat. Diuiſa enim ab iis Phalange, plauſtra in clypeos deuoluta parum damni dedêre. Sed neque vllus eorum ſub plauſtris obrutus vitam amiſit. Tum verò Macedones animoſiores facti, quod plauſtra, quæ maximè reformidârant, ſine vllo ſuo damno pertranſiiſſent, ſublato clamore in Thracas irruêre. Alexander interim ſagittarios a dextro cornu ante aliam Phalangem, quod illac facilior acceſſus eſſet, venire iuſsit, ac tela in eos iacere, quacumque impetum facerent. Ipſe agmine regio, ac ſatellitio cum Agrianis aſſumpto ſecum ad læuum cornu duxit. Tum ſagittarii quotquot Thracum procurſabant, telis reprimebant: Phalanx etiam ſe iis admiſcens haud difficulter leues homines, maleque armatos barbaros loco mouit. itaque Alexandrum a læuâ irruentem non amplius ſuſtinere potuerunt, ſed abiectis, vt cuique licebat, armis per montem diffugêre. Occiſi quidem ex ipſis ad mille quingenti: ſuperſtites viri pauci capti, propter & pedum velocitatem, & regionis quam habebant peritiam. at fæminæ, quotquot ipſos ſequebantur, omnes cum pueris, & vniuerſâ prædâ captæ, atque abductæ ſunt.

Prælium Alexandri cum Triballis.

Ἀλέξανδρος δὲ καὶ αὐτὸς τὴν μὲν φάλαγγα ἐς βάθος ἐκτάξας ἐπῆγε. τοὺς δὲ τοξότας καὶ τοὺς σφενδονήτας προεκθέοντας ἐκέλευσεν ἐκτοξεύειν τε καὶ σφενδονᾶν εἰς τοὺς βαρβάρους, εἴ πως προκαλέσαιτο αὐτοὺς ἐς τὰ ψιλὰ ἐκ τοῦ νάπους. οἱ δὲ, ὡς ἐντὸς βέλους ἐγένοντο, παιόμενοι ἐξέθεον ἐπὶ τοὺς τοξότας, ὅπως ἐς χεῖρας ξυμμίξειαν γυμνοῖς οὖσι τοῖς τοξόταις. Ἀλέξανδρος δὲ, ὡς προήγαγεν αὐτοὺς ἐκ τῆς νάπης ἔξω, Φιλώταν μὲν, ἀναλαβόντα τοὺς ἐκ τῆς ἄνωθεν Μακεδονίας ἱππέας, προσέταξεν ἐμβαλεῖν κατὰ τὸ κέρας τὸ δεξιὸν, ᾗπερ μάλιστα προυκεχωρήκεσαν ἐν τῇ ἐκδρομῇ. Ἡρακλείδην δὲ καὶ Σώπολιν τοὺς ἐκ Βοττιαίας τε καὶ Ἀμφιπόλεως ἱππέας κατὰ τὸ εὐώνυμον κέρας ἐπάγειν ἔταξε. τὴν δὲ φάλαγγα τῶν πεζῶν, καὶ τὴν ἄλλην ἵππον πρὸ τῆς φάλαγγος παρατείνας κατὰ μέσους ἐπῆγε. καὶ ἔς τε μὲν ἀκροβολισμὸς παρ' ἑκατέρων ἦν, οἱ Τριβαλλοὶ οὐ μεῖον εἶχον. ὡς δὲ ἥ τε φάλαγξ πυκνὴ ἐνέβαλλεν ἐπ' αὐτοὺς ἐρρωμένως, καὶ οἱ ἱππεῖς οὐκ ἀκοντισμῷ ἔτι, ἀλλ' αὐτοῖς ὠθοῦντες τοῖς ἵπποις, ἄλλῃ καὶ ἄλλῃ προσέπιπτον, τότε δὴ ἐτράπησαν διὰ τοῦ νάπους ἐς τὸν ποταμόν. καὶ ἀποθνήσκουσι μὲν τρισχίλιοι ἐν τῇ φυγῇ, ζῶντες δὲ ὀλίγοι καὶ τούτων ἐλήφθησαν, ὅτι ὕλη τε δασεῖα

Alexander etiam ipſus Phalangem in Altum inſtructam induxit. Sagittarios autem, ac Funditores ante alios procurſare, ac ſagittis fundiſque barbaros petere iuſſit, ſi forte è ſyluâ eos prouocaret in patentem campum. At illi, vt intra teli iactum venerant, icti telis Sagittariorum in eos curſu feruntur, vt cum ipſis inermibus manus conſerant. Alexander poſtquam extra ſyluam Triballos produxit, Philotæ imperauit, vt aſſumptis ſecum e ſuperiore Macedoniâ Equitibus dextrum hoſtium cornu adoriatur, quà in ipſo excurſu maximè proceſſerant: Heraclidem vere, & Sopolin cum Equitibus e Bœotiâ, & Amphipoli adductis in ſiniſtrum cornu impetum facere iuſſit. Ipſe Peditum Phalangem, ac reliquum Equitatum ante phalangem in longitudinem porrectum in medios hoſtes induxit. Et quidem, quamdiu velitatum vtrimque fuit, Triballi haud inferiores erant. Simul ac vero denſa Phalanx in ipſos impetu valido irruit, atque Equites non amplius iam haſtis ſed ipſis adeo equis ipſos propellerent, ac vndiquaque adorientes premerent, tunc per ſyluam ad fluuium fugam capeſſebant. Atque horum quidem in fugâ ipſâ periêre tria millia: at pauci viui capti,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

πρὸ τοῦ ποταμοῦ ἦν, καὶ νὺξ ἐπιγενομένη τὴν ἀκρίβειαν τῆς διώξεως ἀφείλετο τοὺς Μακεδόνας. αὐτῶν δὲ τῶν Μακεδόνων τελευτῆσαι λέγει Πτολεμαῖος ἱππέας μὲν ἕνδεκα, πεζοὺς δὲ ἀμφὶ τοὺς τεσσαράκοντα. ἀπὸ δὲ τῆς μάχης τριταῖος ἀφικνεῖται Ἀλέξανδρος ἐπὶ τὸν ποταμὸν τὸν Ἴστρον.

pti. quod & denſum nemus ante flumen eſſet, & ingruens nox Macedonibus opportunitatem perſequendi præriperet. Ex ipſis Macedonibus mortem obiſſe autor Ptolemæus, Equites vndecim, Pedites circiter quadraginta. Alexander autem tertio a Pugnâ die ad Iſtrum fluuium peruenit.

Prælium Alexandri cum Getis.

Ὑπὸ δὲ τὴν ἕω Ἀλέξανδρος διὰ τοῦ ληΐου ἦγε, παραγγείλας τοῖς πεζοῖς πλαγίαις ταῖς σαρίσσαις ἐπικλίνοντας τὸν σῖτον, οὕτω προάγειν ἐς τὰ οὐκ ἐργάσιμα. οἱ δὲ ἱππεῖς, ἐς τε μὲν διὰ τοῦ ληΐου προήει ἡ φάλαγξ, ἐφείποντο· ὡς δὲ ἐκ τῶν ἐργασίμων ἐξήεσαν, τὴν μὲν ἵππον ἐπὶ τὸ δεξιὸν κέρας αὐτὸς Ἀλέξανδρος παρήγαγε, τὴν φάλαγγα δὲ ἐν πλαισίῳ Νικάνορα ἄγειν ἐκέλευσεν. καὶ οἱ Γέται οὐδὲ τὴν πρώτην ἐμβολὴν τῶν ἱππέων ἐδέξαντο. παράδοξος μὲν γὰρ αὐτοῖς ἡ τόλμα ἐφάνη τοῦ Ἀλεξάνδρου, ὅτι εὐμαρῶς οὕτω τὸν μέγιστον τῶν ποταμῶν διεβεβήκει ἐν μιᾷ νυκτί, τὸν Ἴστρον, οὐ γεφυρώσας τὸν πόρον· φοβερὰ δὲ καὶ τῆς φάλαγγος ἡ ξύγκλασις, βιαία δὲ ἡ τῶν ἱππέων ἐμβολή. καὶ τὰ μὲν πρῶτα ἐς τὴν πόλιν καταφεύγουσιν, ἣ δὴ ἀπεῖχεν αὐτοῖς ὅσον παρασάγγην τοῦ Ἴστρου. ὡς δὲ ἐπάγοντα εἶδον σπουδῇ Ἀλέξανδρον τὴν μὲν φάλαγγα παρὰ τὸν ποταμόν, ὡς μὴ κωλυ-

SVb Auroram Alexander aciem per ſegetem ducebat, Peditibuſque mandarat, vt reclinato in terram tranuerſis ſariſsis frumento, ita procederent, donec ex aruis in campos incultos frugibus deuenirent. Equites autem, quam diu per ſegetem procedebat Phalanx, a tergo ſequebantur. Sed vt aruis iam exceſſerant, Equitatum ipſe Alexander ad dextrum cornu deduxit: Nicanorem iuſſit Phalangem ducere Quadratam. Getæ ne primum quidem Equitum impetum ſuſtinuere. Etenim tum inaudita, atque incredibilis viſa ipſis Alexandri audacia, qui vnâ nocte maximum fluuiorum Iſtrum nullo iuncto ponte traieciſſet: tum terribile Phalangis confertis clypeis robur, ac violentus Equitum impetus. Ac primo quidem in vrbem confugiunt, quæ vnâ circiter paraſangâ inde aberat. Vbi autem propere ſecus fluuium Phalangem inducere Alexandrum

θεῖν πῃ οἱ πεζοὶ, ἐνεδρευσάντων τῶν Γετῶν, τοὺς ἱππέας δὲ κατὰ μέτωπον, λείπουσιν αὖ τὴν πόλιν οἱ Γέται, ὡς κακῶς τετειχισμένην, &c.

videre, ne quà Pedites prohiberentur a Getarum inſidijs, equiteſque eos antecedere; vrbem quaſi male mænitam rurſum Getæ deſertum eunt.

Prælium Alexandri cum Taulantijs.

Ἀλέξανδρος δὲ, ἐπειδὴ ἀπηγγέλθη αὐτῷ, ὅτι κινδυνεύουσιν οἵ τε ἱππεῖς καὶ τὰ ὑποζύγια, εἰ νὺξ αὐτοὺς καταλήψεται, αὐτὸς μὲν ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας, καὶ ἱππεῖς ἐς τετρακοσίους, ἐβοήθει σπουδῇ. τὸ δὲ ἄλλο στράτευμα πρὸς τῇ πόλει ἀπέλιπεν, ὡς μὴ, ἀποχωρήσαντος παντὸς τοῦ στρατοῦ, καὶ οἱ ἐκ τῆς πόλεως ἐπιδραμόντες τοῖς ἀμφὶ Γλαυκίαν συμμίξειαν. ἔνθα δὴ Γλαυκίας προσάγοντα Ἀλέξανδρον αἰσθόμενος ἐκλείπει τὰ ὄρη· οἱ δὲ ξὺν Φιλώτᾳ, ἀσφαλῶς ἐπὶ τὸ στρατόπεδον διεσώθησαν. ἐδόκουν δ' ἔτι τὸν Ἀλέξανδρον ἐν δυσχωρίᾳ ἀπειληφέναι οἱ ἀμφὶ τὸν Κλεῖτον, καὶ Γλαυκίαν. τά τε γὰρ ὄρη τὰ ὑπερδέξια κατεῖχον, πολλοῖς μὲν ἱππεῦσι, πολλοῖς δ' ἀκοντισταῖς, καὶ σφενδονήταις, καὶ ὁπλίταις δὲ οὐκ ὀλίγοις. καὶ οἱ ἐν τῇ πόλει κατειλημένοις προσκείσεσθαι ἀπαλλαττομένοις ἔμελλον· τά τε χωρία, δι' ὧν ἡ πάροδος ἦν τῷ Ἀλεξάνδρῳ, στενὰ καὶ ὑλώδη ἐφαίνετο, τῇ μὲν, πρὸς τοῦ ποταμοῦ ἀπειργόμενα, τῇ δὲ ὄρος ὑπε-

Alexander, poſtquam nuntiatum ipſi fuit, equites atque impedimenta in diſcrimine verſari, ſi nox eos obruat, ipſe aſſumpto ſecnm ſatellitio cum arcutibus, atque Agrianis, equitibuſque ad quadringentis, quantâ poterat celeritate, ad auxilium eorum contendit. Reliquum exercitus ad vrbem reliquit, vt ne abſcedente toto exercitu oppidani accurrerent, ac Glauciæ ſeſe adiungerent: Glaucias, vt ſenſit accedentem Alexandrum, montes deſerit. Philotas autem tute cum ſuis ſaluus in caſtra redijt. Autumabant Clitus & Glaucias ſeſo Alexandrum difficultate locorum intercepiſſe. nam & montes ſuperiores multis ſagittariis, funditoribus, ac non paucis grauioris armaturæ militibus occupabant: & qui in vrbe obſeſſi detinebantur, ſi ſolueretur obſidio, in diſcedentes irruptionem facturi erant. ad hæc, loca, per quæ tranſeundum erat Alexandro, anguſta, ac ſyluoſa erant: hinc quidem flumine ea coarctante: illinc monte

ρώψηλον ἦν καὶ κρημνοὶ πρὸς τοῦ ὄρους. ὥστε οὐδὲ ἐπὶ τεσσάρων ἀσπίδων αὐτῷ στρατεύματι ἡ πάροδος ἐγένετο. ἔνθα δὴ ἐκτάσσει τὸν στρατὸν Ἀλέξανδρος ἕως ἑκατὸν καὶ εἴκοσι τῷ βάθει τῆς φάλαγγος. ἐπὶ τὸ κέρας δὲ ἑκατέρωθεν διακοσίους ἱππεῖς ἐπιτάξας, παρήγγειλε σιγῇ ἔχειν, τὸ παραγγελλόμενον ὀξέως δεχομένους. καὶ τὰ μὲν πρῶτα ἐσήμανεν, ὀρθὰ ἀνατεῖναι τὰ δόρατα τοὺς ὁπλίτας, ἔπειτα ἀπὸ ξυνθήματος ἀποτεῖναι ἐς προσβολὴν, καὶ νῦν μὲν ἐς τὸ δεξιὸν ἐγκλῖναι τῶν δοράτων τὴν σύγκλεισιν, αὖθις δὲ ἐπὶ τὰ ἀριστερά. καὶ αὐτὴν δὲ τὴν φάλαγγα ἐς τὸ πρόσω ὀξέως ἐκίνησε, καὶ ἐπὶ τὰ κέρατα ἄλλοτε ἄλλῃ παρήγαγε. καὶ οὕτω πολλὰς τάξεις τάξας τε καὶ μετακοσμήσας ἐν ὀλίγῳ χρόνῳ, κατὰ τὸ εὐώνυμον οἷον ἔμβολον ποιήσας τῆς φάλαγγος, ἐπῆγεν ἐπὶ τοὺς πολεμίους. οἱ δὲ πάλαι μὲν ἐθαύμαζον, τήν τε ὀξύτητα ὁρῶντες, καὶ τὸν κόσμον τῶν δρωμένων. τότε δὴ προσάγοντας ἤδη τοὺς ἀμφὶ Ἀλέξανδρον οὐκ ἐδέξαντο, ἀλλὰ λείπουσι τοὺς πρώτους λόφους. ὁ δὲ καὶ ἐξαλαλάξαι ἐκέλευσε τοὺς Μακεδόνας, καὶ τοῖς δόρασι δουπῆσαι πρὸς τὰς ἀσπίδας. οἱ δὲ Ταυλάντιοι ἔτι μᾶλλον ἐκπλαγέντες πρὸς τῆς βοῆς, ὡς πρὸς τὴν πόλιν ἐπανήγαγον σπουδῇ τὸν στρατόν. Ἀλέξανδρος δὲ λόφον τινὰ κατέχοντας ἰδὼν οὐ πολλοὺς τῶν πολεμίων, παρ' οὗ αὐτῷ ἡ πάροδος ἐγίγνετο,

monte excelſo, ac prærupto ita vt ne quatuor quidem ſcutatis militibus ſimul via tranſeundi pateret. Tum vero Alexander aciem inſtruit, cuius Altitudo in Phalange centum & viginti viris conſtabat. ad vtrumque cornu adiunctis ducentis equitibus præcepit, vt cum ſilentio quod mandaretur diligenter ac promptè exciperent. Ac primum quidem iuſſit, vt ſurſum erectas haſtas armati geſtarent, deinde, vt dato ſigno ſimul eaſdem in hoſtem protenderent: ac modò coniunctis cuſpidibus haſtas dextrorſum, modo ſiniſtrorſum inclinarent. Ipſam autem Phalangem celiceter prorſum mouit, ac ad cornua hac illac deduxit. atque ita breui temporis ſpatio multis variiſque acierum formis conſtitutis, factâque ad læuam Phalangis iſtar cunei ſtructurâ, in hoſtes iuit. Qui & celeritatem, & ordinem eorum, quæ ab ipſo fiebant, cernentes admirabundi ſtabant. neque propius aduentātis Alexandri impetum ſuſtinuere, Sed primos montes deſeruere. Ille vero & clamorem tollere, & haſtis ad clypeos illiſis ſonitum edere Macedones iuſſit. Taulantij adhuc magis perculſi iſto clamore, exercitum verſus vrbem vix reducem abduxêre. Alexander conſpicatus non multos hoſtium collem quandam tenêre, per quem tranſitus ei dabatur, la-

παρήγγειλε τοῖς σωματοφύλαξι, καὶ τοῖς ἀμφ' αὐτὸν ἑταίροις, ἀναλαβόντας τὰς ἀσπίδας ἀναβαίνειν ἐπὶ τὸν ποταμὸν ἐπὶ τοὺς ἵππους, καὶ ἐλαύνειν ἐπὶ τὸν γήλοφον. ἐκεῖσε δὲ ἐλθόντας εἰ ὑπομένοιεν οἱ κατειληφότες τὸ χωρίον, τοὺς ἡμισέας καταπηδῆσαι ἀπὸ τῶν ἵππων, καὶ ἀναμιχθέντας τοῖς ἱππεῦσι πεζοὺς μάχεσθαι. οἱ δὲ πολέμιοι τὴν ὁρμὴν τὴν Ἀλεξάνδρου ἰδόντες λείπουσι τὴν γήλοφον, καὶ παρεκκλίνουσιν ἑκατέρωσε τῶν ὀρῶν. ἔνθα δὴ καταλαβὼν Ἀλέξανδρος τὸν γήλοφον σὺν τοῖς ἑταίροις, τούς τε Ἀγριᾶνας μεταπέμπεται, καὶ τοὺς τοξότας, ὄντας ἐς δισχιλίους· τοὺς δὲ ὑπασπιστὰς διαβαίνειν τὸν ποταμὸν ἐκέλευσε, καὶ ἐπὶ τούτων τὰς τάξεις τῶν Μακεδόνων· ὁπότε δὲ διαβάντες τύχοιεν, ἐπ' ἀσπίδα ἐκτάσσεσθαι, ὡς πυκνὴν εὐθὺς διαβάντων φαίνεσθαι τὴν φάλαγγα. αὐτὸς δὲ ἐν προφυλακῇ ὤν, ἀπὸ τοῦ λόφου ἀφεώρα τῶν πολεμίων τὴν ὁρμήν. οἱ δὲ ὁρῶντες διαβαίνουσαν τὴν δύναμιν, κατὰ τὰ ὄρη ἀντεπῄεσαν, ὡς τοῖς μετὰ Ἀλεξάνδρου ἐπιθησόμενοι τελευταίοις ἀποχωροῦσι. ὁ δὲ, πελαζόντων ἤδη, αὐτὸς ἐκθεῖ σὺν τοῖς ἀμφ' αὐτὸν, καὶ ἡ φάλαγξ, ὡς διὰ τοῦ ποταμοῦ ἐπιοῦσα, ἐπηλάλαξεν. οἱ δὲ πολέμιοι, πάντων ἐπὶ σφᾶς ἐλαυνόντων, ἐγκλίναντες ἔφυγον. καὶ ἐν τούτῳ ἐπῆγεν Ἀλέξανδρος τούς τε Ἀγριᾶνας καὶ τοὺς τοξότας δρόμῳ, ὡς ἐπὶ τὸν ποταμόν. καὶ πρῶτος μὲν αὐτὸς φθάσας διαβαίνει, τοῖς τε-

tronibus, ac amicis, qui præſto aderant, præcepit, vt aſſumtis clypeis ad flumen equos conſcendant, ac ad collem contendant. atque vbi eo venerint, ſi quidem, qui locum iſtum occupârant, aduentum eorum operirentur, vt dimidia ipſorum pars ex equis deſiliant, ac mixti Equitibus pedites confligant. Hoſtes, vt viderunt Alexandrum ad ſeſe tendere, collem relinquunt, ac per montes quaqua diffugiunt. Tum vero Alexander cum familiaribus collem occupans, & Agrianas accerſit, & ſagittarios, qui erant ad duo millia. Scutatos fluuium traiicere iuſſit, ac poſt hos Macedonum agmina. Vbi vero traiecerint, factâ in clypeum inclinatione aciem ita inſtruant, vt phalanx eorum qui tranſiiſſent, ilico denſa appareat Ipſe in ſpeculâ exiſtens, e colle hoſtium impetum ſpectabat: illi videntes traiicientes copias, iuxta montes obuiam proceſſere, quaſi a tergo adorturi eos, qui cum Alexandro poſtremi diſcedebant. Ille vero iam appropinquantibus ipſis ipſus cum iis, quos ſecum habebat, excurrit, ac phalanx, ac ſi iam fluuium tranſiiſſet, clamorem ſuſtulit. Hoſtes omnibus in ſeſe ſimul irruentibus, terga dabant, fugamque capeſſebant. Interea Alexander Agrianos, ac ſagittarios in ipſos, quantâ poteſt celeritate, ad fluuium ducit. ac primus quidem i-

pſe

λευταίοις δὲ, ὡς εἶδεν ἐπικειμένους τοὺς πολεμίους, ἐπιστήσας ἐπὶ τῇ ὄχθῃ τὰς μηχανὰς, ἐξακοντίζειν ὡς πορρωτάτω ἀπ' αὐτῶν ἐκέλευσεν ὅσα ἀπὸ μηχανῶν βέλη ἐξακοντίζεται. καὶ τοὺς τοξότας δὲ ἐκ μέσου τοῦ ποταμοῦ ἐκτοξεύειν, ἐπεσβάντας καὶ τούτους. καὶ οἱ μὲν ἀμφὶ τὸν Γλαυκίαν εἴσω βέλους παρελθεῖν οὐκ ἐτόλμων. οἱ δὲ Μακεδόνες δὲ ἐν τούτῳ ἀσφαλῶς ἐπέρασαν τὸν ποταμόν. ὥστε οὐδεὶς ἀπέθανεν ἐν τῇ ἀποχωρήσει αὐτῶν. τρίτῃ δὲ ἀπ' ἐκείνης ἡμέρᾳ καταμαθὼν Ἀλέξανδρος κακῶς αὐλιζομένους τοὺς ἀμφὶ Κλεῖτον καὶ Γλαυκίαν, καὶ οὔτε φυλακὰς ἐν τῇ τάξει αὐτοῖς φυλαττομένας, οὔτε χάρακα, ἢ τάφρον προβεβλημένους (οἷα δὴ ξὺν φόβῳ ἀπηλλάχθαι οἰομένων Ἀλέξανδρον) ἐς μῆκος δὲ οὐκ ὠφέλιμον ἀποτεταμένην αὐτοῖς τὴν τάξιν, ὑπὸ νύκτα ἔτι λαθὼν διαβαίνει τὸν ποταμὸν, τούς τε ὑπασπιστὰς ἅμα οἱ ἄγων, καὶ τοὺς Ἀγριᾶνας, καὶ τοὺς τοξότας, καὶ τὴν Περδίκκου καὶ Κοίνου τάξιν. καὶ προστέτακτο μὲν ἀκολουθεῖν τὴν ἄλλην στρατιάν. ὡς δὲ καιρὸν εἶδεν εἰς ἐπίθεσιν, οὐ προσμείνας ὁμοῦ γενέσθαι πάντας, ἐφῆκε τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας· οἱ δὲ ἀπροσδόκητοί τε ἐπιπεσόντες, καὶ φάλαγγι κατὰ κέρας, ᾗπερ ἀσθενεστάτοις αὐτοῖς καρτερωτάτη, τῇ ἐμβολῇ προσμίξειν ἔμελλον, τοὺς μὲν ἔτι ἐν ταῖς εὐναῖς κατέκτεινον, τοὺς δὲ φεύγοντας εὐμαρῶς αἱροῦντες. ὥστε πολλοὶ μὲν αὐτοῦ κα-

pſe alios anteuertens tranſit. vt vero poſtremos premi ab hoſtibus vidit, ad ripam fluminis conſtitutis machinis quam longiſſimè tela, quæcumque ex iis elidi queunt, emititi iubet: etiam ſagittarios e medio flumine, quod & ipſi iam ingreſſi eranr, ſagittas euibrare. Glaucias, & qui cum eo erant, intra teli iactum progredi non audebant. Interea Macedones tuto fluuium trangreſſi ſunt. ita vt nemo eorum in diſceſſu vitam amiſerit. Triduo poſt Alexander cum intellexiſſet, Clitum, & Glauciam iniquo loco caſtra metatos, nec excubias ab ipſis agi in exercitu, neque vallo, aut foſſâ caſtra circumdata, (quippe qui putabant præ metu Alexandrum diſceſſiſſe,) aciemque ipſis in longitudinem minimè commodam extenſam; ſub noctem clam fluuium tranſit, ductis ſecum ſcutatis, Agrianis, Arcu tibus, ac Perdiccæ Cænique copijs: dato mandato, vt etiam reliquus exercitus ſubſequeretur. Vt vero opportunitatem inuadendi eos animaduertit, non exſpectato reliquorum aduentu, ſagittarios & Agrianas immiſit. Qui & inexſpectati irruentes, idque phalange rectâ per cornu, quâ maxime infirmis hoſtibus exiſtentibus validiſſimo impetu eos inuaſuri erant, alios adhuc in ſtratis decumbentes interficiunt, alios ſugientes facile capiunt. ita vt multi ibidem inopinato obruti: multi in fugâ inordina-

τελήφθησαν, καὶ ἀπέθανον· πολλοὶ δὲ ἐν τῇ ἀποχωρήσει ἀτάκτῳ καὶ φοβερᾷ γενομένῃ, οὐκ ὀλίγοι δὲ καὶ ζῶντες ἐλήφθησαν. ἐγένετο δὲ ἡ δίωξις τοῖς μὲν ἀμφὶ Ἀλέξανδρον, μέχρι πρὸς τὰ ὄρη τῶν Ταυλαντίων. ὅσοι δὲ καὶ ἀπέφυγον αὐτῶν, γυμνοὶ τῶν ὅπλων διεσώθησαν. Κλεῖτος δὲ ἐς τὴν πόλιν τὸ πρῶτον καταφυγὼν, ἐμπρήσας τὴν πόλιν, ἀπηλλάγη παρὰ Γλαυκίαν ἐς Ταυλαντίους.

tà, ac trepidâ interierint; non pauci etiam viui capti ſint. Perſecutus fugientes eſt Alexander ad vſque montes Talautiorum. Quotquot vero ipſorum in fugam ſe dederunt, ij armis ſalui euaſerunt. Clitus, qui primo in vrbem confugerat eâ incenſâ ad Glauciam ſe contulit in Taulantios.

Prælium Alexandri cum Perſis ad Granicum amnem.

ἘΝ τούτῳ δ' Ἀλέξανδρος προυχώρει ἐπὶ τὸν Γρανικὸν ποταμὸν συντεταγμένῳ τῷ στρατῷ, διπλῆν μὲν τὴν φάλαγγα τῶν ὁπλιτῶν τάξας. τοὺς δὲ ἱππέας κατὰ τὰ κέρατα ἄγων, τὰ σκευοφόρα δὲ κατόπιν ἐπιτάξας ἕπεσθαι, τοὺς δὲ προκατασκεψομένους τὰ τῶν πολεμίων, ἦγεν αὐτῷ Ἡγέλοχος, ἱππέας μὲν ἔχων σαρισσοφόρους, τῶν δὲ ψιλῶν ἐς πεντακοσίους. καὶ Ἀλέξανδρός τε οὐ πολὺ ἀπεῖχε τοῦ ποταμοῦ τοῦ Γρανικοῦ, καὶ οἱ ἀπὸ τῶν σκοπῶν σπουδῇ ἐλαύνοντες, ἀπήγγελλον, ἐπὶ τῷ Γρανικῷ πέραν τοὺς Γέρσας ἐφεστάναι ὡς ἐς μάχην τεταγμένους. ἔνθα δὴ Ἀλέξανδρος μὲν τὴν στρατιὰν πᾶσαν συνέταττεν ὡς μαχουμένους· Παρμενίων δὲ προσελθὼν λέγει Ἀλεξάνδρῳ τάδε, Ἐμοὶ δοκεῖ, βασι-

INterea Alexander ad Granicum amnem exercitu inſtructo progrediebatur, duplici armatorum Phalãge ordinatâ. Equites in cornubus ducens, impedimenta pone ſequi iuſſit. Speculatores, qui hoſtes obſeruaturi eſſent, duxit Hegelochus, habens ſecum equites Sariſſophoros, ac velites circiter quingentos. Alexander, cum iam non procul a fluuio Granico abeſſet, ocyus e ſpeculatoribus citis equis aduolant ei nuntiantes, in vlteriore ad Granicum ripâ Perſas ſtare acie ad prælium inſtructâ. Tum Alexander totum exercitum ad Pugnam etiam ſtruxit. Parmenio aurem accedens ad Alexandrum eum his verbis alloquitur: *Videtur mihi, o Rex, in præ-*

ſentia-

λεῦσι ἀγαθὸν εἶναι ἐν τῷ παρόντι, καταστρατοπεδεῦσαι ἐπὶ τοῦ ποταμοῦ τῇ ὄχθῃ, ὡς ἔχομεν. τοὺς γὰρ πολεμίους οὐ δοκῶ τολμήσειν πολὺ τῶν πεζῶν λειπομένους πλησίον ἡμῶν αὐλισθῆναι, καὶ ταύτῃ παρέξειν ἕωθεν εὐπετῶς τῷ στρατῷ διαβαλεῖν τὸν πόρον. ὑποφθάσομεν γὰρ αὐτοὶ περάσαντες, πρὶν ἐκείνους ἐς τάξιν καθίστασθαι. νῦν δὲ οὐκ ἀκινδύνως μοι δοκοῦμεν ἐπιχειρήσειν τῷ ἔργῳ, ὅτι οὐχ᾽ οἷόν τε ἐν μετώπῳ διὰ τοῦ ποταμοῦ ἄγειν τὸν στρατόν. πολλὰ μὲν γὰρ αὐτοῦ ὁρᾶται βαθέα· αἱ δὲ ὄχθαι αὗται, ὁρᾷς, ὅτι ὑπερύψηλοι καὶ κρημνώδεις εἰσὶν αἱ αὐτῶν. ἀτάκτως τε οὖν καὶ κατὰ κέρας, ᾗπερ ἀσθενέστατον, ἐκβαίνουσιν ἐπικείσονται ἐς φάλαγγα συντεταγμένοι τῶν πολεμίων οἱ ἱππεῖς. καὶ τὸ πρῶτον σφάλμα ἔς τε τὰ παρόντα χαλεπὸν, καὶ ἐς τὴν ὑπὲρ παντὸς τοῦ πολέμου κρίσιν σφαλερόν. Ἀλέξανδρος δὲ, Ταῦτα μὲν, ἔφη, ὦ Παρμενίων, γιγνώσκω, αἰσχύνομαι δὲ, εἰ τὸν μὲν Ἑλλήσποντον διέβην εὐπετῶς, τοῦτο δὲ σμικρὸν ῥεῦμα (οὕτω τῷ ὀνόματι τὸν Γρανικὸν ἐκφαυλίζας) εἴρξει ἡμᾶς τοῦ μὴ διαβῆναι, ὡς ἔχομεν. καὶ τοῦτο οὔτε πρὸς Μακεδόνων τῆς δόξης, οὔτε πρὸς τῆς ἐμῆς ἐς τοὺς κινδύνους ὀξύτητος ποιοῦμαι· ἀναθαρρήσειν τε δοκῶ τοὺς Πέρσας, ἀξιομάχους Μακεδόσιν ὄντας, ὅτι οὐδὲν ἄξιον τοῦ σφῶν δέους ἐν τῷ παραυτίκα ἔπαθον.

ſentiarum conſultum, ad fluminis ripam eo quo ſumus ordine caſtra locare. Hoſtes enim Peditum numero longè nobis inferiores iuxta nos haud iudico auſuros pernoctare: atque ideo cras primo diluculo facilem exercitui noſtro traiiciendi fluminis opportunitatem datum iri. Nos enim in oppoſitam ripam citius tranſibimus, quam ipſi aciem inſtruere poterunt. Nunc vero non abſque periculo videmur opus hoc aggreſſuri, quia fieri nequit, vt rectâ atque explicatâ fronte per flumen exercitum ducamus. multæ enim eius apparent profunditates. Ripæ etiam hæ aduerſæ, vides, vt prealtæ ſint, ac prærupτæ. Itaque nobis egredientibus ſine ordine ac fronte anguſtâ, quâ ea infirmiſſima eſt, in phalangem inſtructi ſimul hoſtium equites incumbent eritque hic primus iacturæ error non modo ad præſentem rerum ſtatum grauis, verum etiam ad totius belli iudicium, atque euentum periculoſus. Ad hæc Alexander, *Intelligo quidem, atque agnoſco iſta, o Parmenio: ſed pudeat me, ſi, qui ſine difficultate Helleſpontum traieci, hic riuulus* (ita eo nomine Granicum extenuabat) *nobis obſtabit, quo minus tranſeamus, quo ſumus, & poſſumus ordine. Atque id præter & Macedonum gloriam, & meam in adeundis periculis celeritatem fore autumarem. vidererque Perſis animum additurus ac ſi Macedonibus pares in prælijs eſſent, quia nihil ſuo ipſorum metu dignum nunc ſtatim experti, ac paſſi ſint.*

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Ταῦτα εἰπὼν, Παρμενίωνα μὲν ἐπὶ τὸ εὐώνυμον κέρας πέμπει ἡγησόμενον, αὐτὸς δὲ ἐπὶ τὸ δεξιὸν παρῆγεν. παρετάχθησαν δὲ αὐτῷ τοῦ μὲν δεξιοῦ, Φιλώτας ὁ Παρμενίωνος, ἔχων τοὺς ἑταίρους τοὺς ἱππέας, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας τοὺς ἀκοντιστάς. Ἀμύντας δὲ ὁ Ἀρραβαίου, τούς τε σαρισσοφόρους ἱππέας ἔχων, Φιλώτᾳ ἐπετάχθη, καὶ τοὺς Γαίονας, καὶ τὴν ἴλην τὴν Σωκράτους. ἐχόμενοι δὲ τούτων ἐτάχθησαν οἱ ὑπασπισταὶ τῶν ἑταίρων, ὧν ἡγεῖτο Νικάνωρ ὁ Παρμενίωνος· ἐπὶ δὲ τούτοις, ἡ Περδίκκου τοῦ Ὀρρόντου φάλαγξ· ἐπὶ δὲ, ἡ Κοίνου τοῦ Πολεμοκράτους· ἐπὶ δὲ, ἡ Ἀμύντου τοῦ Ἀνδρομένους· ἐπὶ δὲ, ὧν Φίλιππος ὁ Ἀμύντου ἦρχε. τοῦ δὲ εὐωνύμου πρῶτοι μὲν οἱ Θετταλοὶ ἱππεῖς ἐτάχθησαν, ὧν ἡγεῖτο Κάλας ὁ Ἀρπάλου. ἐπὶ δὲ τούτοις, οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε Φίλιππος ὁ Μενελάου· ἐπὶ δὲ τούτοις, οἱ Θρᾶκες, ὧν ἦρχεν Ἀγάθων· ἐχόμενοι δὲ τούτων, πεζοὶ, ἥ τε Κρατεροῦ φάλαγξ, καὶ ἡ Μελεάγρου, καὶ ἡ Φιλίππου, ἔς τε ἐπὶ τὸ μέσον τῆς ξυμπάσης τάξεως. Περσῶν δὲ ἱππεῖς μὲν ἦσαν ἐς δισμυρίους, ξένοι δὲ πεζοὶ μισθοφόροι ὀλίγον ἀποδέοντες δισμυρίων· ἐτάχθησαν δὲ τὴν μὲν ἵππον παρατείναντες τῷ ποταμῷ, κατὰ τὴν ὄχθην ἐπὶ φάλαγγα μακράν, τοὺς δὲ πεζοὺς κατόπιν τῶν ἱππέων· καὶ γὰρ ὑπερδέξια ἦν τὰ ὑπὲρ τὴν ὄχθην χωρία. ᾗ δ' Ἀλέξανδρον αὐτὸν καθεώρων (δῆλος γὰρ ἦν, τῶν τε ὅπλων τῇ

Hæc locutus Parmenionem ad læuum cornu ducendum mittit. Ipſe dextrum ducturus, eo conceſſit. Præpoſiti autem ipſi in dextro Philotas Parmenionis filius, qui ſocios equites, Sagittarios, & Agrianas iaculatores ducebat. Inde poſt Philotam conſtitutus eſt Amyntas Arrhabæi filius, habens ſecum & ſarriſſophoros Equites, & Pæonas, & Socratis turmam. Proximi his adiuncti ſcutati Sociorum, quos Nicanor Parmenionis ducebat. inde ab his Perdiccæ Orrontis phalanx: inde Cæni Polemocratis: inde Amyntæ Andromenis: inde ij, quibus Philippus Amyntæ præerat. In ſiniſtro cornu primi quidem Equites Theſſali conſtituti ſunt, quorum præfectus Calas Harpali erat. Poſt hos Equites Auxiliares, quibus Philippus Menelai præerat: inde Thraces, quibus præfectus erat Agatho: proximi inde his pedites, & Crateri phalanx, & Meleagri, & Philippi, ad vſque totius aciei medium. Perſarum equites ad viginti mille erant: Peregrini pedites mercenarij paulum infra totidem mille. Equitatum Perſæ in longam porrectum phalangem ad fluminis ripam collocarant, ac pone equites Peditatum. nam loca ſupra ripam excelſiora erant. Cæterum quâ parte ipſum Alexandrum conſpicabantur ad ſiniſtrum ſuum cornu tendentem (conſpicuus enim erat tum armo-

rum

λαμπρότητι, καὶ τῶν ἀμφ' αὐτὸν τῇ ξὺν ἐμπλήξει θεραπείᾳ) κατὰ τὸ εὐώνυμον μὲν σφῶν ἐπέχοντα, ταύτῃ πυκνὰς ἐπέταξαν τῇ ὄχθῃ τὰς ἴλας τῶν ἵππων. χρόνον μὲν δὴ ἀμφότερα τὰ στρατεύματα ἐπ' ἄκρου τοῦ ποταμοῦ ἐφεστότες, ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν ἡσυχίαν ἦγον· καὶ σιγὴ ἦν πολλὴ ἀφ' ἑκατέρων. οἱ γὰρ Πέρσαι προσέμενον τοὺς Μακεδόνας, ὁπότε ἐσβήσονται ἐς τὸν πόρον, ὡς ἐπικεισόμενοι ἐκβαίνουσιν. Ἀλέξανδρος δὲ ἀναπηδήσας ἐπὶ τὸν ἵππον, καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευσάμενος ἕπεσθαί τε καὶ ἄνδρας ἀγαθοὺς γίνεσθαι, τοὺς μὲν προδρόμους ἱππέας, καὶ μὴν καὶ τοὺς Παίονας, προεμβαλεῖν εἰς τὸν ποταμὸν ἔχοντα Ἀμύνταν τὸν Ἀῤῥαβαίου, καὶ τῶν πεζῶν μίαν τάξιν, καὶ πρὸ τούτων τὴν Σωκράτους ἴλην Πτολεμαῖον τὸν Φιλίππου ἄγοντα, ᾗ δὴ καὶ ἐτύγχανε τὴν ἡγεμονίαν τοῦ ἱππικοῦ παντὸς ἔχουσα ἐκείνῃ τῇ ἡμέρᾳ. αὐτὸς δὲ ἄγων τὸ δεξιὸν κέρας ὑπὸ σαλπίγγων τε, καὶ τῷ Ἐνυαλίῳ ἀλαλάζοντας, ἐμβαίνει ἐς τὸν πόρον, λοξὴν ἀεὶ παρατείνων τὴν τάξιν, ᾗ παρεῖλκε τὸ ῥεῦμα· ἵνα μὴ ἐκβαίνοντι αὐτῷ οἱ Πέρσαι κατὰ κέρας προσπίπτοιεν, ἀλλὰ καὶ αὐτὸς, ὡς ἀνυστὸν, τῇ φάλαγγι προσμίξῃ αὐτοῖς. οἱ δὲ Πέρσαι, ᾗ πρῶτοι οἱ ἀμφὶ Ἀμύνταν καὶ Σωκράτην προσέσχον τῇ ὄχθῃ, ταύτῃ καὶ αὐτοὶ ἄνωθεν ἔβαλλον· οἱ μὲν αὐτῶν, ἀπὸ τῆς ὄχθης ἐξ ὑπερδεξίου ἐς τὸν ποταμὸν ἐσακοντίζοντες· οἱ δὲ, κατὰ τὰ χθαμαλώτερα αὐτῆς ἔς τε ἐπὶ τὸ ὕδωρ καταβαίνοντες. καὶ

rum ſplendore, tum ſtupendo, quo ſtipatus erat, famulitio) hac turmas equitum denſas ad ripam collocarunt. Vterque autem exercitus aliquandiu ad ſummam fluminis oram ſubſiſtens, quod euentum formidaret, quietè ſe continuit ſummoque cum ſilentio. Nam Perſæ exſpectabant dum Macedones in fluuium deſcenderent, vt in eos egredientes impetum facerent. Alexander vero vt in equum inſilijt hortatus eos, qui vna ſecum erant, ſequi, viroſque fortes ſeſe præbere, antecurſores equites, Pæonaſque, ac Peditum vnam cohortem, quibus præerat Amyntas Arrhabæi, primos in flumen deſcendere iuſſit atque ante eos Socratis turmam quam Ptolemæus Philippi ducebat, cui eo die totius equitatus præfectura contigerat. Ipſe dextrum cornu ducens, quod tubarum clangore & fauſtis Marti clamoribus ſublatis reſonabat, flumen ingreditur, qua curſus amnis ferebatur, obliquam ſemper aciem obtendens, vt ne Perſæ ipſi egredienti in cornu rectà irruerent: ſed vt quoad eius fieri poſſet, ipſe potius phalange in ipſos inueheretur. Perſæ, quà Amyntas, ac Socrates primi ripas appropinquabant, hac ipſi in eos deſuper tela mittebant: alij ex editiore ripâ in flumen jaculantes: alii per planiora, ac decliuiora ripæ loca in amnem deſcendentes. Eratque Equitum

ἦν τῶν τε ἱππέων ὠθισμὸς, τῶν μὲν ἐκβαίνειν ἐκ τοῦ ποταμοῦ, τῶν δ' εἴργειν τὴν ἔκβασιν. καὶ παλτῶν ἀπὸ μὲν τῶν Περσῶν πολλὴ ἄφεσις, οἱ Μακεδόνες δὲ ξὺν τοῖς δόρασιν ἐμάχοντο. ἀλλὰ τῷ τε πλήθει πολὺ ἐλαττούμενοι Μακεδόνες ἐκακοπάθουν ἐν τῇ πρώτῃ προσβολῇ, καὶ αὐτοὶ ἐξ ἀβεβαίου τε ἅμα κάτωθεν ἐκ τοῦ ποταμοῦ ἀμυνόμενοι. οἱ δὲ Πέρσαι ἐξ ὑπερδεξίου τῆς ὄχθης· ἄλλως τε καὶ τὸ κράτιστον τῆς Περσικῆς ἵππου ταύτῃ ἐπετέτακτο. οἵτε Μέμνονος παῖδες, καὶ αὐτὸς ὁ Μέμνων μετὰ τούτων ἐκινδύνευσε. καὶ οἱ μὲν πρῶτοι τῶν Μακεδόνων συμμίξαντες τοῖς Πέρσαις, κατεκόπησαν πρὸς αὐτῶν, ἄνδρες ἀγαθοὶ γενόμενοι, ὅσοι γε μὴ πρὸς Ἀλέξανδρον πελάζοντα ἀπέκλιναν αὐτῶν. Ἀλέξανδρος γὰρ ἤδη πλησίον ἦν, ἅμα οἷ ἄγων τὸ κέρας τὸ δεξιόν. καὶ ἐμβάλλει ἐς τοὺς Πέρσας πρῶτος, ἵνα τὸ πᾶν στῖφος τῆς ἵππου καὶ αὐτοὶ οἱ ἡγεμόνες τῶν Περσῶν τεταγμένοι ἦσαν. καὶ περὶ αὐτὸν ξυνειστήκει μάχη καρτερὰ, καὶ ἐν τούτῳ ἄλλαι ἐπ' ἄλλαις τῶν τάξεων τοῖς Μακεδόσι διέβαινον οὐ χαλεπῶς ἤδη. καὶ ἦν μὲν ἀπὸ τῶν ἵππων ἡ μάχη, πεζομαχίᾳ δὲ μᾶλλόν τι ἐῴκει. ξυνεχόμενοι γὰρ ἵπποι τε ἵπποις, καὶ ἄνδρες ἀνδράσιν, ἠγωνίζοντο, οἱ μὲν ἐξῶσαι εἰσάπαν ἀπὸ τῆς ὄχθης, καὶ ἐς τὸ πεδίον βιάσασθαι τοὺς Πέρσας, οἱ Μακεδόνες· οἱ δὲ εἶρξαί τε αὐτῶν τὴν ἔκβασιν οἱ Πέρσαι, καὶ ἐς τὸν ποταμὸν αὖθις

turbulentus conflictus, his flumen exire, illis exitum prohibere nitentibus. A Perſis tragulæ frequentes emittebantur. Macedones haſtis pugnabant. Illi autem & numero multo inferiores, & quod ex humili, ac lubrico loco e flumine pugnarent, Perſæ vero ex eminentiore ripâ, in primo congreſſu damnis afficiebantur, eoque magis, quod Perſicus Equitatus ad ripam conſtitutus, eam defenſaret: cum quo & Memnon ipſe, & eius filij prælij diſcrimen ſuſtinebant. Ac primi quidem Macedonum, qui inito cum Perſis conflictu viros fortes ſeſe præbebant, cæſi ſunt omnes, iis exceptis, qui ad appropinquantem Alexandrum ſeſe receperunt. Is enim iam prope aderat dextrum cornu adducens. qui etiam primus in Perſas irruit, vbi tota equitum acies conferta, ac Perſarum duces conſtituti erant. Ibi vero dum circa ipſum ingens acriſque pugna commiſſa eſt, interea Macedonum cohortes alia poſt aliam iam ſine difficultate tranſibant. Et quamuis equeſtre eſſet prælium, tamen pedeſtre magis videbatur. nam equi equis, viri viris mutuò hærentes, ac confligentes prorſus arcere a ripâ Perſas ac in campum vi repellere nitebantur Macedones, Perſæ contra exitu eos prohibere, ac rurſus in fluuium retrudere. Tandem tamen iam ſuperiores euadebant Macedones tum robore, tum peritiâ, ac vſu belli, tum etiam, quod aduerſus tragulas haſtis e corno confectis pugnarent. Hic vero

inter,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

ἀπώσασθαι. καὶ ἐκ τούτου ἐπλεονέκτουν ἤδη οἱ σὺν Ἀλεξάνδρῳ τῇ τε ἄλλῃ ῥώμῃ καὶ ἐμπειρίᾳ, καὶ ὅτι ξυστοῖς κρανείνοις πρὸς παλτὰ ἐμάχοντο· ἔνθα δὴ καὶ Ἀλεξάνδρῳ ξυντρίβεται τὸ δόρυ ἐν τῇ μάχῃ, ὁ δὲ Ἀρέτην ᾔτει δόρυ ἕτερον, ἀναβολέα τῶν βασιλικῶν. τῷ δὲ καὶ αὐτῷ πονουμένῳ συντετριμμένον τὸ δόρυ ἦν. ὁ δὲ τῷ ἡμίσει κεκλασμένου τοῦ δόρατος οὐκ ἀφανῶς ἐμάχετο, καὶ τοῦτο δείξας Ἀλεξάνδρῳ, ἄλλον αἰτεῖν ἐκέλευε. Διβάρατος δὲ, ἀνὴρ Κορίνθιος τῶν ἀμφ' αὐτὸν ἑταίρων, δίδωσιν αὐτῷ τὸ αὑτοῦ δόρυ. καὶ ὃς ἀναλαβὼν, καὶ ἰδὼν Μιθριδάτην τὸν Δαρείου γαμβρὸν πολὺ πρὸ τῶν ἄλλων προϊππεύοντα ἅμα οἱ, ὥσπερ ἔμβολον τῶν ἱππέων, ἐξελαύνει καὶ αὐτὸς πρὸ τῶν ἄλλων. καὶ παίσας ἐς τὸ πρόσωπον τῷ δόρατι καταβάλλει τὸν Μιθριδάτην. ἐν δὲ τούτῳ Ῥοισάρης μὲν ἐπελαύνει τῷ Ἀλεξάνδρῳ, καὶ παίει Ἀλεξάνδρου τὴν κεφαλὴν τῇ κοπίδι. καὶ τοῦ μὲν κράνους τι ἀπέθραυσε, τὴν πληγὴν δὲ ἔσχε τὸ κράνος. καὶ καταβάλλει καὶ τοῦτον Ἀλέξανδρος παίσας τῷ ξυστῷ διὰ τοῦ θώρακος ἐς τὸ στέρνον. Σπιθριδάτης δὲ ἀνετέτατο μὲν ἤδη ἐπ' Ἀλέξανδρον ὄπισθεν τὴν κοπίδα, ὑπερφθάσας δὲ αὐτὸν Κλεῖτος ὁ Δροπίδου παίει κατὰ τοῦ ὤμου, καὶ ἀποκόπτει τὸν ὦμον τοῦ Σπιθριδάτου ξὺν τῇ κοπίδι· καὶ ἐν τούτῳ ἐπεκβαίνοντες ἀεὶ τῶν ἱππέων ὅσοις προὐχώρει κατὰ τὸν ποταμὸν, προσεγίγνοντο τοῖς ἀμφ' Ἀλέξανδρον. καὶ οἱ Πέρσαι παιόμενοί τε πανταχόθεν ἤδη ἐς τὰ πρόσωπα αὐτοί τε, καὶ οἱ ἵπποι τοῖς ξυστοῖς, καὶ πρὸς τῶν ἱππέων ἐξωθούμενοι,

inter confligendum haſta Alexandro confringitur. qui aliam ab Arete regiorum equorum ſtratore petijt. Sed cum & illi in prælio laboranti haſta diffracta eſſet, ita vt cum dimidio eius fragmento, quod oſtendebat, pugnare manifeſto videretur, aliam poſcere iuſſit Alexander. Dibaratus autem Corinthius vnus e ſocijs, qui circa regem erant, ſuam ipſi haſtam tradit. Eâ arreptâ conſpicatus Mithridatem Darij generum longè ante alios equo prouectum, cum turmâ equitum cunei inſtar formatà, ipſus quoque ante alios equo effertur, ac haſtâ faciem feriens Mithridatem proſternit. Interibi Rœſaces in Alexandrum inuehitur, ac caput eius ſecuri percutit: diffractaq; nonnihil galeâ ictus tamen non penetrauit. Hunc etiam haſtâ proſternit Alexander in pectus vſq; traiectâ loricâ. Pone autem Spithridates iam in Alexandrũ ſecurim eleuârat. quem præuortens Clitus Dropidæ filius, ſecuri in humerum adactâ brachium ei abſcidit. Interea equites quotquot poterant egredientes ſenſim e flumine Alexandri copijs adiungebantur. At Perſæ vndique iam tum ipſi, tum ipſorum equi ictus haſtarum in faciebus aduerſos accipientes, atque ab equitibus preſſi, ingens etiam damnum

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

πολλὰ καὶ πρὸς τῶν ψιλῶν ἀναμεμιγμένων τοῖς ἱππεῦσι βλαπτόμενοι, ἐγκλίνουσι ταύτῃ πρῶτον ᾗ Ἀλέξανδρος προεκινδύνευεν. ὡς δὲ τὸ μέσον ἐνεδεδώκει αὐτοῖς, παῤῥήγνυτο δὴ καὶ τὰ ἐφ᾽ ἑκάτερα τῆς ἵππου. καὶ ἦν δὲ φυγὴ καρτερά. τῶν μὲν δὴ ἱππέων τῶν Περσῶν ἀπέθανον εἰς χιλίους. οὐ γὰρ πολλὴ ἡ δίωξις ἐγένετο, ὅτι ἐξετράπη Ἀλέξανδρος ἐπὶ τοὺς ξένους τοὺς μισθοφόρους· ὧν τὸ στῖφος, τὸ πρῶτον ἐτάχθη, ἐκπλήξει μᾶλλόν τι τοῦ παραλόγου, ἢ λογισμῷ βεβαίῳ ἔμενε. καὶ τούτοις τήν τε φάλαγγα ἐπαγαγὼν, καὶ τοὺς ἱππέας πάντῃ προσπεσεῖν κελεύσας ἐν μέσῳ, δι᾽ ὀλίγου κατακόπτει αὐτούς. ὥστε διέφυγε μὲν οὐδεὶς, ὅτι μὴ διέλαθέ τις ἐν τοῖς νεκροῖς.

velitibus, qui Equitibus erant intermiſti, paſſi, in eam partem primum inclinationem ad fugam faciunt, vbi inter primos Alexander diſcrimen prælij ſubibat. Simul ac vero medium ipſorum agmen cedere cæpit, equitatuſque ad vtrumque cornu diſſipatus fuit, ingens ac vehemens fuga fuit. Et quidem Equitum Perſarum mille circiter occiſi ſunt. nec enim diuturna illorum perſecutio fuit, quia Alexander ad mercede conductos exteros ſe conuertit, quorum agmen quo primum loco conſtitutum fuerat, eodem ſtupore magis inopinati euentus, quam certâ firmâque ratione motum ſubſiſtebat. In hos & immiſſâ, inductâque phalange, & equitibus ab omni parte impetum facere iuſſis, in media acie exiguo temporis ſpatio ipſos concidit. ita, vt nemo eorum euaſerit, niſi qui forte inter cadauera delituit.

FINIS.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
232 L 10